ἀπέλαυες. ὅτως ἂν νοηθείη ἡ ὁμαλζωμ πρὸς αὐτλύ. ὅτι φησὶμ ὁ Θεόκριτος, λωμάζω ποτὶ τὰμ Ἀμαρυλλίδα. Ἄλλως. Ὅσομ ἀπέσβας. Τὸ ὅσομ, ἀντὶ τ τόσομ. ἤγαμ, προσάγομ. τὸ δὲ ωαῦ, ὅτως ὅσομ αἰ αἶγες ἐμοὶ προσφιλεῖς, τοσόνδε μοὶ φίλη ὅσα δηλονότι, ἀπέσβας. ἤγαμ, ἀξέλιπες. ἀπέθανες. Θαρσεῖμ χρή. Τὸ δὲ Κορύδωμ φησὶ πρὸς ἀμυθόμενος τὸμ Βάττομ, ἵνα μὴ ἀθυμῇ, ὡὴ τῇ τελδυτῇ τ Ἀμαρυλλίδος. Ἀνέλπισοι ἢ θανόντες. Ἀνέλπισομ, ὃ δὲ ἐλπίζει τις λαβεῖμ, ἢ καταρθῶσαι, ἢ τοιοῦτό τι. ἀνέλπισομ, ὃ τὸ ἐλπίδος ἐσβεσμένομ. ἐκεῖθέ λέγεται φωτοῦθα τὸ, ἀνέλπισοι. Χ' ὡ ζεὺς ἄλλοθα. Τὸμ δὲ λέγει τὸμ αἶπομ τῶμ ὑετῶμ, ἀντὶ τ ἀέρος, φ' ὧ σωάγοντ' αἰ νεφέλαι. Τὸμ θαλλὸμ προώγονλι. Θαλλὸς ἁπλῶς λέγετ', ωαῦ τὸ τεθηλὸς. ἰδικῶς δὲ ὁ ἐλαίας βλαστός. Τὰ λύσσοα. Τὰ λυσσιῶντα. ἀπὸ τ λυσσιόλως σβύεσθαι καὶ ὁρμαῦ δηλονότι τὸ εἰς πρωχαί. Σίτθ'. Ὁ λέπραγθ. ἐπίφθεγμα βουκολικόμ. ὅπερ λέγασμ οἱ βουκόλοι. ὁμοίως καὶ τὸ ψίτθα. λέπραθ ἢ ὁ λυκός. ἢ ὁ λυκοποίκιλος. ἢ ὁ λυκόπλευρος. ἀλλ' ὁ μὲμ ἀπὸ τ λέπας ἔχειμ καὶ τ ἀργόμ. ὅ ὅτι λυκόμ ἔχει τὸ δέρμα. ὁ ἢ ἀπὸ τ λυκόμ εἶμ καὶ τ λαπάρων. ἢ λέπαργος, ὁ λυκός. ωαρὰ τὸ ἔχειμ λέπας ἀργόμ ἤγαμ, δέρμα λυκόμ ἢ λυκόμ, καὶ τὼ λαπάρω. Κυμαίθα, ὄμομα βοός, ἢ ἀγός. Παρὰ τὼ κώμυθα. ἢ ωαρὰ τὸ αἴθω, καὶ πρώμη, ἢ τὰς κόμας αἴθας ἔχθα. τοτέστι, ξανθὰς ἢ ἐγκύμονας.

Ἴλ'

Ἴσλ' ἀῦ πάλιν. Ἰσλὶ πάλιν πρόσεισι τοῖς φυτοῖς.
Εἴθ' ἰῶ μοι ξοικόν. Ἐοικὸν τὸ λαμπύλον. Ἀρχίλοχος.
Ἀλλά μοι ξοικὸς εἶη τῇ λυήμλω ἰσλεῖν. Λαγωβόλον
ἢ ξύλον, ὦ ἁλαφόλυγοντες οἱ λαγωοὶ βάλλονται. ἢ ὅπερ ἄε-
θλον ἔλαν ὀρθλὸν, ἐπόλυχεσθαι γλυέσθαι λαμπύλλω, ἵνα
μὴ ἔγκυον ἔλαν βλαφθῇ τλὸ βᾶν. Θᾶσαι μ' ὦ Κορύ-
δλων. Ἀποστροφὴ τὸ χῆμα. τῇ γὰρ τὸ σιωπώμενον ἀ-
πορχόμενος ὁ Βαθύλος ἀπελάσαι τῆ ἀλάμαλιν, τοῦτ' ἀ-
κάνθης ἐτύπη ἁλεῖται τ Κορύδλωνος ἀξελεῖν αὐτῆ.
διὸ καὶ πρὸς αὐτὸν ἀπίστρεψε τὸν λόγον καὶ φησί. θέα
σαίμε πρὸς τ Διός, ἀῦπ γαρ με ἄκανθα ἐπάταξε πρὸς
τὸ σφυρόν. Ἀρμοῖ μ' ὦδλ' ἐπάταξεν. Εἰ μὴ ψιλῶτι,
τὸ ἀρτίως νῦν ἐωσί σημαίνει. εἰδὲ δασυνίεται, τὸ ἡρμο-
σμένως. τὸ δὲ βαθεῖαν. αὐτὶ τ τοῦ ὁρμιγέθεις. καὶ μετέω-
ροι. Ταὶ ἀτρακτυλίδες γῶτί. Ἀτρακτυλὶς, εἶδος
βοτάνης. ἢ ἀκάνθης. εἴρηται δὲ ἀπὸ τ τὰς ἀτροίκως γυ-
ναῖκας, ἀτράκτους ποιεῖν ἀξ αὐτῶν. γῶνοι δὲ ἀτρακτυ-
λίδας, τὰ ἀτροιολαίχανα φασίν. Ἔχω τέμιν. Ἄδλε
καὶ αὐτὰ, μερατῶ αὐτλὼ, τλὼ ἄκανθαν δηλονότι. τὸ δὲ
ἄδλε, ταυτὸ δλυάτῃ τὸ ἴδλε. ὁκῆ, πόθιανος, ὥστορ κῆ πᾶ
» ὁμίρω· Τῶν, ἐμόθεν γενεὰ δύγατορ δλὸς εἶπε κῆ ἡμῖν.
ἐκβαλὼν γᾶ τ ἄκανθαν, δλέκνυσι τῷ Βάτλῳ κῆ φησίν
ἄδε κῆ αὐτή. Ὀσίχαν ὀδὶ τὸ τύμμα, κῆ ἀλίκον ἄνδρα.
Βαβαί. Ὅσ) ὀδὶ τὸ τ πληγὼ ποιᾶν. δηλοῖ δὲ ἐμφαί-
νει, τό τε μέγεθ- τὸ ἀνδρὸς, καὶ τλὼ σμικρότητα δ)

ἀκάνθης. τὸ ἡλίκον πρὸς τὸν ἄνδρα. ἵν' ᾖ, μικρὸν ὂν τὸ τύμμα, ἡλίκον ἄνδρα, τοτέστι μέγα ἢ ἀνδρεῖον σλαμάζει. ἢ τὸ ἡλίκον ὡρῥήματικῶς ἀντὶ τοῦ ὁποίως σλαμάζει τὸν ἄνδρα. Μὴ ἀνάλιπος. Ἤγουν ἀνυπόδητος. ἀφ' οὗ καὶ ὑπέδλην. τὸ ὑπόδημα. ἅλιψ γὰρ τὸ ὑπόδημα, παρὰ τὸ ἑλίασειν τὸν πόδα. ἀνέλιπος δὲ οἱονεί, ὁ μὴ ἑλίασῶν τὸν πόδα. Καὶ ἀπαλλαθοι κομόωνλι.. Κομόωνλι ἀντὶ τοῦ κομῶσιν. ἀκάνθας ἔχουσι· κόμαι γὰρ ῥάμνου καὶ ἀπαλαλθε, αἱ ἄκανθαι. ἀπαλλαθὼ δὲ εἶδος ἀκάνθης. ἢ πληγάντες αὖ ἔλαφοι, ἀκρυήσχουσιν. ἀπαλλαθὼ εἴρηται, ἀλλὰ τὸ μὴ ῥᾳδίως ὑπὸ τῶν πληγάντων ἀκρατᾶδι. ἤτοι, ἀφαιρεῖσθαι. Εἶπ' ἄγε μοι Κορύδλων, τὸ γοργόνλιον ἦρ' ἔτι μύλλει. Ἄγε εἰπέ μοι ὦ Κορύδλων. τὸ γοργόντιον. τὸν πατρόα λέγει τὸν Αἴγωνα. ἆρα ἔτι ἐλαύνῃ. ἤγουν, φιλεῖ ἐκείνη τῷ ὁρωμένῳ αὐτῇ τῷ μέλλοντας ὀφρῦς ἔχειν, ἧς ψέκά ποτε ὁρωτικὸν πάθος ἐλίξατο; μύλλῃ δὲ, ἐλαύνει. ὠθεῖ. πορεύῃ. ἀκρὸν τῶν, ἀλόωτων, καὶ τῇ κόπῃ σὺν μύλος ὠθόωμεν. Ἀμαὶ ὦ λειλαῖε. Οὐχ ὡς λοιδορῶν, ἀλλ' ὑποκορίζόμενος, ἢ ὑποκινόμενος τὸν λέγει. πρὸ ὀλίγου γὰρ αὐτὸν ἐπελθὼν, καὶ πρὸς τῷ μαύρᾳ, ἢ μαλκτρᾳ, ἢ βαλκτρᾳ. τριχῶς γὰρ φορέεται ψ τοῖς αὐτιγραφοις, κατελαμβανον ὁ τωιῶνα ψάρεγει. τῷ μετ' αὐτὴ πλησιόπι μίξιν. Καὶ ποτὶ τὰν μαύρᾳ. Τῷ τῶν πολλῶν ὀρκάνῳ. ἢ μαλκτρᾳ, ἢ βάκτρᾳ. ἢ ὅτι σκληρῷ ξύλι-

νᾳ

νομ ἀδάκνειστες, ὃ φυραῖν εἰώθασιν. ὠνόμασται δὲ, ἀπὸ τοῦ μαλάττειν καὶ φυραῖν γὰρ αὐταῖς τὰς μάζας. Φιλοίφα.

Τόποι γλῶσ. ἤγουν, ὁ φιλῶν τὸ σωφρονίζειν. Φιλοσυνασιασά. οἰφεῖν γὰρ τὸ σωφρονίζειν. ὅτω καὶ παρὰ Ἀλεξανδρόυσιν κόροιφος λέγεται, ὁ κόρων οἰφώμενος. ἢ οἰφεῖν τὸ σωφρονίζειν ἀπὸ τοῦ ὀπαιδύειν. γύθα καὶ οἰφωλὴς γυνή. ὅθεν καὶ παροιμία. ἄρτια χωλὸς οἰφεῖ. ἢ φασὶ σλαδυθλῶναι, ἐπεὶ οἱ χωλοὶ γὰρ οἴκῳ καθεζόμενοι, σωφρονοῦσ ἀφροδισιάζουσιν. οἱ δὲ φασὶ τὴν παροιμίαν γίνεσθαι ἐπὶ τῶν ῥυῆναι ἤτοι σλαδυθλῶναι. αἱ ἀμαζόνες ἐπὰν ἀρρένων γυνήσωσι, χωλὸν αὐτὸ ποιοῦσιν, ἵνα μὴ ἀνδρειότερον αὐτῶν γένηται. καὶ τούτοις ἀνδρωθεῖσι συμίασι. σκυθῶν δὲ λεγόντων καλὸν σωθῆναι αὐτὰς ἑαυτῆς, ἐκεῖναι ἔφασαν. ἄρτια χωλοὶ οἰφοῦσιν. Ἢ σατυρίσκοις. Τοὺς σατύρους οἱ πλείονες φασὶν ὡς καὶ οὐσιλλωδεῖς, καὶ ὠδὰς ἀσκοὺς. ὡς Αἰσχύλος μὲν γὰρ γλαύκῳ. Σοφοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ. οἱ σάτυροι καὶ οἱ πάντες ὀνειπίφοροι πρὸς τὰς συνουσίας. ὅτι δὲ οἱ σάτυροι τοιοῦτοι, δῆλον ἀπὸ τοῦ ὀνόματος. ἀπὸ γὰρ τῆς σάθης ὠνομάσται ὁ σάτυρος. σάθη δὲ ἡ εἰς τὴν ὠθυμίαν ἐκπύρωσις. Ἄλλως. Ἢ σατυρίσκοις. Ἀκρατεῖς οἱ σάτυροι ὁρῶτων. λέγεται δὲ παρὰ τὸ σάθος. σάθη δὲ τὸ μόριον τοῦ ἀνδρός. ὅπερ καὶ ὠὸς λέγεται.

Κακοκναθμοισιν ὁρίσθη. Ἐπειδὴ αἱ ὀργὰς ἔχουσι λασίους πόδας. ἢ ἀπὸ τοῦ ὀρχοῦμαι τὴν μωρὰν καὶ σθρόμοις.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΕΤΟΥ

Θεοκρίτου εἰδύλλιον.

Ἐπιγράφεται μὲν τὸ πρῶτον εἰδύλλιον, Αἰπολικὸν καὶ ποιμενικόν. οἱ δὲ διαλεγόμενοι ἀλλήλοις εἰσὶ, Κομάτας, καὶ Λάκων, Δωρίδι. Αἶγες ἐμὲ τῶν τὸν ποιμένα τὸν συβαρίταν. Ἴσιον ὅτι τὸ μὲν ἀπόλυτον ὄνομά ἐστι Κομάτας. ὃς καὶ ἐπιμέρους τοῦ συβαρίτου νέμει αἶγας. τοῦ δὲ ποιμένος, Λάκων. ὃς δορίδι συμβαρείτου, νέμει δρέμματα. Τὸν συβαρίταν. Σύβαρις, πόλις ἰταλίας, ἢ ἀπὸ οἰκιστοῦ τινός, ἢ ἀπὸ συβάρεως ποταμοῦ. νῦν δὲ καλεῖται θούριον. τὸν δὲ θούριον καὶ σύβαρις. λέγουσι γάρ ὅτι ὑπὸ τῶν Κροτωνιατῶν καθῃρέθη ἡ σύβαρις. ἐλθόντες δὲ οἱ ἀθλητικοὶ, αὐτὴν ὤκησαν, καὶ τῇ πόλει μετέθηκαν τὸ ὄνομα, καλέσαντες αὐτὴν θούριον, ἀπὸ θουρίου ποταμοῦ ἐκεῖσε ῥέοντος. καὶ θούριος, ὄνομα κύριον καὶ ὁ ὁρμηνικός. Τὸν Λάκωνα. Λάκων ὄνομα κύριον, ἐκτείνει δὲ τὸ ᾰ ἐπὶ τὸ μέτρον. εἰώθασι δὲ οἱ παλαιοὶ τοῖς δούλοις ὀνόματα τιθέναι ἀπὸ τῶν ἐθνῶν. σύρον καρίωνα. ὅτω καὶ τὸν Λάκωνα. δωριεὺς γὰρ ἦν. Τὸ μὴ νάκος. Ὃς μὲν τὸν νάκος. ζωόδοτος τὸ ἱμάτιον. τὸ μαρσύπιον. ἢ νάκος τὸ δέρμα αἰγὸς δορᾶ. Ὅμηρος· Νάκος ἔλετ' αἰγὸς ὀρεσκόφοιο. ἢ θεόκριτος ἐν τοῖς ἑξῆς, αὐτὸς φησίν. Οὐκ ἀπὸ τᾶς καρύνας σίπυ' ἀμνίδες, πρόβατα. ἀτρίπαξ, σίπαξ, ψίπαξ, ποιμενικά, αἰπολικά, καὶ βουλικὰ ὑποφθέγματα. εἰσὶ δὲ ὑπορρήματα. ἔλεγον γὰρ τοῦτα

τα

τα διώκοντες. ἀρρεύσεσθε ὤφειλεν εἰπεῖν ἢ φεύξεσθε ἤ
τι τοιοῦτον. ὁ δὲ ταῦτα ἀφεὶς, τῇ συνήθει φωνῇ τοῖς ἀμ-
νοῖς τῷ σίττα χρῆται. ἔστι δὲ οὗτος πρακέλευσις. ἀμνίδες
τὰ μικρὰ πρόβατια οἱονεὶ, ἀμενηνά. Τόν μου τὰν
σύριγγα. Τὸν τὴν σύριγγα μου πρὸ ὀλίγου κλέψαν-
τα Κομάταν. Δῶλε συβάρτα. Δωρικῶς κατὰ τὴν γε-
νικὴν, ἀντὶ τοῦ συβάρτου. δῶλε δὲ ἀντὶ τοῦ δοῦλε. Δοῦ-
λος δὲ καὶ οἰκέτης διαφέρει, ὥς φησι Χρύσιππος. οἰκέ-
της μὲν ὁ ἔτι ὑπὸ κτίσιν ὤν. δοῦλος δὲ, ὁ ἀπελεύθερος.
συβάρτας δὲ, ὡς περδίκας ἀγρίππας. ἔστι δὲ κατὰ μὲν τὸ
ἀνάλογον, συβαρίτης. κατὰ δὲ δωριεῖς, συβάρτης. Τί δ'
οὐκέτι σὺν κορύδωνι ἀρκεῖ τοι καλάμας αὐλόν. Ὁ Κο-
ρύδων βουκόλος, οὗ πρόσθεν μέμνηται. ὁ δὲ νοῦς. οὐκ ἀρκεῖ
σοι φησὶ σὺν κορύδωνι ἐν τῷ καλάμῳ φυσσᾶν καὶ συ-
ναυλεῖν αὐτῷ οὗτος δὲ χλευαστικόν. ὅτι οὐδὲ αὐλεῖν οἶδεν,
εἰ μὴ ποππύσδειν καὶ μόνον. καλάμη δέ ἐστι, τὸ κατα-
λειπόμενον ἢ περιλειπόμενον ἐκ τοῦ θερίζομένου σίτου
καλαμώδου καὶ τῆς κριθῆς. ταύτην δὲ νεαρὰν οὖσαν,
ὑποτεμνόμενοι φυσῶσιν ἐν αὐτῇ καὶ αὐλίζουσι. ποπ-
πύζειν δὲ, τὸ λεπτοτάτως φωνεῖν τινὰ φυσῶντα τὸν
ἐκ τῆς καλάμης αὐλόν. Ἄλλως. Τί δὲ, οὐδαμῶς ἀρ-
κεῖ σοι. ἤγουν, ἱκανὸν ἔστι σοι αὐλὸν ἔχοντι ἀπὸ καλάμης,
ἤτοι ἀπὸ καλαμαίας ἐμπνεῖν αὐτῷ; τοῦτο γὰρ τὸ ποπ-
πύζειν σὺν Κορύδωνι. τουτέστιν ὁμοίως τῷ Κορύδω-
δωνι. Τάν μοι ἔδωκε Λύκων. Πρὸς τὸ ποίαν ἀπο-

τείνει ἡ ἀπάντησις. τὸ δὲ ὦ λοίθορε λατ' εἰρωνείαν εἴρηκε. Οὐ δὲ γὰρ ὄλυμβρα τῷ λευκότητι. Πρὸς ὕσοβολιὼ ὅτι ἔφη. λέγει δὲ μὴ δὲ αὐτὸν τὸν λευκότατον ὄλυμβρα ὡς λευκοιμῆδαι. ἤγουν, λόρματι. Ἄλλως. Τὸ ὄλυμβρα λόρματι φασὶν εἶναι καὶ ὁ λύειον ὄνομα ὡς πινοῦ. ἵν' ᾖ, ὁ δὲ γὰρ ὁ δὲ τῷ λευκότητι τῷ σῷ ὄλυμβρα καὶ λόρματι, ἵν ὥστε γὼ ὀύλεμ. Βασκαίνων. Ἀντὶ τοῦ φθονῶν λυπούμενος. λυείως ὁ Βάσκανος, ὁ τοῖς ὀφθαλμοῖς λαίνων καὶ φθείρων τὸ ὁρᾶθαι ὑπ' αὐτοῦ, ἢ ὑπ' αὐτῶν. Οὐμὲ αὐτὸν τὸν πατέρα τὸν ἄκτιον. Ἀντὶ τοῦ, τὸν λιμενικόν. ἐπακτῆρες γὰρ οἱ λιμενικοὶ ὡς φησιν ὁ πιανός, ἢ ὡς φησι Φιλοστέφανος. ἔστι πανὸς ἱερὸν πλησίον λερολιβίου ποταμοῦ. τινὲς δὲ τὸν Ἀπόλλωνα φασὶ τὸν ὑπὸ τοῦ ἀκτίου ἱδρυμένον. φησὶ δὲ καὶ Πίνδαρος τῶν ἁλιέων αὐτὸν φρουτίζειν. ἢ τὸν πρὸ τοῦ πατρώας πόλεις αὐγιαλοὺς διάγοντα. ἤγουν, τὸν λιμενικόν. ἢ ἄκλον λατάπτυνας, τὸν ἀπλοῦν. Ταὺ Βαίταν. Τὸν διφθόραν. τὸν σισύραν. Βαίταν γὰρ λέγουσι τὰ ἐκκωλίων συνερραμμένα πολυβόλακα. ἀπλοῦν δὲ τοῦτον, ἢ σισύραν φασί. καὶ Ἀριστοφάνης· Ἐν τῷ πτῶτε σισύρας ἐγκεκορδυλημένος. Ἡμεῖς δ' αὐτά, σισυρίνια φαμέν. Ταὺ Βαίταν ἀπέδυσ' ὁ λαλαίθιδος. Οἰκέτης δηλονότι, ἢ υἱός. πότερον γὰρ οἰκέτης ἢ υἱός, οὐ λέγει. διὸ οἱ μὲν δοῦλον, οἱ δὲ υἱὸν φασίν. Ἢ ἡ τὸν τῶν. Ἢ εἰ ὅτι ἐποίησα. ἢ εἰ ὠνορκοίλω. ἄνωθεν ἀπὸ τ' ὠέτρας ἐκείνης ὦ ἄνθρωπε εἰς μανίαν

νίαν ἐμπεσὼν εἰς λιμνάθιν τὸν ποταμὸν ωηδήσαιμι. ἢ φθαρσίμιλω. γραφεται γὰρ ἀλοίμιλω, καὶ ὀλοίμιλω. εἰώθασι γὰρ ἐκπλοίας λινᾶς ἢ μανίας, καταπερυμνίζειν ἑαυτούς. λιμνάθις δὲ, ποταμὸς πρὸς σίβαειν τῆ σικελίας. ἢ δὲ ηγ|, αὐτὴ τῆ ἀπὸ Νυμφόδωρ. δὲ καὶ Θεόφραστος φασί, τὸ λιμνάθι τὸ ὕδωρ ξανθίζειν. Ἄλλως. τὸ. Ἢ ηγ| τιώας. Τιὼ ηγ|, τῷ ἀλοίμιλω δεῖ σωάπτειν, ποινικῶς γὰρ διαιρεῖται τὸ ῥήματος, ὧ ταύτῃ τῇ σημασίᾳ, ὡς πρὸ ὀμήρου· Βᾶ δὲ κατ' ὀλύμποιο κατιὼν κορυφὰς χιόνος κάτα. Παρὰ δὲ τῷ ωεζῷ λόγῳ, σωνημμένη ὀξύνεται ἀεὶ ὧν τοῖς τοιούτοις τῷ ῥήματι, ὡς πρὸ ἀπὸ φιλοστράτου· Ὅλ' ὦ' ἐκλύς τῶν ωαραγαίων ἅλη βαθίζει. καὶ τὸ ὀλύμπου κάτεισιν. Ἐν τῇ Μ ὀδὲν ἱδρόν. πρόσκειται ὀξύνεται ὧν τῶν μηδενὸς ἀξίων. φησὶ δὲ λυκόφρων ὧν ἀλυτέρῳ τῶν προσκειμένων, ὅτι Ἡρακλῆς ἱδρῶν ἱδρυμένον τὸν ἄλωνιν, ἔφη ὀδὲν ἱδρόν. ὀ γὰρ αὐτὸν ἄξιον λιμῆς καὶ ἱδρύσεως ἐκείνων. διονυσόδωρ δὲ μεταφορὰν εἶναι φησίν, ἀπὸ τῶν ἱδρῶν τῶν τιμωμένων, μηδὲν ἐχόντων ἱδρῶτα καὶ σεβασμοῦ ἄξιον. ἢ ὀδὲν ἱδρόν, ὀ κ ἔστιν ἄξιον ἱδρύσεως καὶ λιμῆς ὁ ζωστῆρ. Ἄλλως. Ἡρακλῆς ἐλθὼν εἰς λῖον πόλιν τῆς μακεδονίας, εἶδεν ἐκεῖνον ἱδρῶτα πολλοὺς ἀγιόνας. θέλων δὲ καὶ αὐτὸς εἰσελθεῖν καὶ προσκυνῆσαι, αὐτὸν ἠγνόησε πρώτης τινὸς εἶναι τὸ ἱδρόν, μαθὼν δὲ ἀλωνιστὴν εἶναι, ἔφη ὀδὲν ἱδρόν. αὐτὶ τοῦ ὀδενὸς ἄξιον. ὀδενὸς γὰρ θεῶν τὸ ωαλαιὸν ἦν. Οὐ μὰν ὅτ' αὐτὰς πὰς λι-

μναδίας. οὐδαμῶς μὰ τὰς λιμναδίας αὐτὰς νύμφας. ἤγουν, τὰς ἀναστρεφομένας ἐν ταῖς λίμναις. αἵτινες ἐμοὶ προσηνεῖς εἶεν, οὐκ ἔκλεψεν ὁ Κομαντας τὴν σύριγγαν σου λαθών. Ἀλλ' οὖν αἴ καλῆς ἐρίφον θέμεν. Ἀντὶ τοῦ θεῖναι. ἤγουν, κατάθου. τὸ αἴκα δωρικῶς ἀεὶ ἀντὶ τοῦ ἐὰν κέχρηται. διὸ καὶ ὑποτάσσει. Ἀλλὰ γὲ τοι δαείσομαι. Ἀλλὰ σοι ἄδων ἐρείσω. δακριθῶ. ἕως ἂν ἀπαγορεύσῃς. τὴν ἧτταν ὁμολογήσῃς. Ὗς ποκ' ἀθαναίαν ἐρίν εἴρισεν. Παροιμία ἐστὶν ἐπὶ τῶν τοῖς κρείττοσιν ἀντεριζόντων. ἐρίζω ἐπὶ λόγων. ἐρείδω δὲ ἐπὶ πραγματος. Τὸν εὔβοτον ἀμνὸν ἐρείδε. Τὸν εὐτραφῆ. βόσις γὰρ ἡ τροφή. ὅθεν καὶ τὸ αἰγίβοτον, καὶ ὑπποβοτον ἐρείδε, ἤγουν φέρων κατάθου. Καὶ πῶς ὦ κίναδ' εὖ. Καὶ πῶς ὦ πανοῦργε καλῶς ταῦτα ἔσται ἐξ ἴσου μέτρου ὑμῖν. οἱ σικελιῶτι γὰρ τῆς ἀλώπεκα, κίναδον προσαγορεύουσι. τοιοῦτον γὰρ τὸ ζῶον πανοῦργον. κίναδος δὲ, πρὰ τὸ κινεῖσθαι ἐν αἰδοῖ, ἢ ἀναιδῶς. ἢ πρὰ τὸ κινεῖσθαι ἐν δόλῳ. Τίς τρίχας αὐτ' ἐρίων ἐποκίξατο. Ἀντὶ τοῦ ἔκειρε. πόκους ἐποιήσατο τίς γὰρ ποτε ἔκειρε ἀντὶ ἐρίων τρίχας. τρίχες γὰρ αἱ παχεῖαι, καὶ τεταμέναι, ὡς αἱ τῆς αἰγός. ἐρία δὲ τὰ λέπτα καὶ οὖλα ὡς τὰ τῶν προβάτων. ἢ οὕτω φησίν, ὅτι αὐτὸς μὲν ἄρνα κατατίθετι, ἐκεῖνος δὲ ἐρίφον, ὅς τις οὐ ποκίζετι. Τίς δὲ πρεύσας αἰγὸς πρωτοτόκοιο, κακὰν κύνα βούλετ' ἀμέλγειν. Ἢ δήλετ' ἀμέλγειν. γράφεται γὰρ καὶ οὕτω δωρικῶς ἀντὶ τοῦ βούλεται κατά τινας.

Ὅς τις

Ὅς τις νικασεῖ τὸν πλατίον. Ἤγουν, ἐκεῖνος ταῦτα ποιεῖ, ὅς τις πέποιθε νικήσειν τὸν πλησίοον, καθὰ σὺ πέποιθας. ἀπὸ τοῦ πέποιθα· πεποίθω γνεστὼς, ὡς ἀπὸ τοῦ δέδοικα δεδοίκω. Ἄλλως. Ὅς τις νικήσειν τὸν πλησίον διαφερόντως. ἐπαγγέλεται. ἢ ὅς τις θελήσει ποιεῖν ἢ εἰπεῖν ὦν, ὅς αὐτ' αἰγὸς κύνα ἀμέλγει. οἷον καὶ σὺ νικήσειν φὴς, τὸν τοσοῦτον γὰρ ἡδυφωνία σου διαφερόντα, ὅσον τέττιγες σφηκῶν. Σφὰξ βομβέων. Ὁ σφὴξ φησὶ σὺ ἐμοῦ κατ' γναντίον τοῦ τέττιγος τολμᾶς βομβεῖν. Ἀλλὰ γὰρ οὔτοι ὁ ἔριφος ἰσοπαλής. Ἀλλὰ οὐδαμῶς. οὗ ἔριφος, ὁ ἐρίφος οὗτος, γὰρ ἴση μοῖρα. οὐκ ἀξιοῦται τῷ ἀμνῷ. ἀλλὰ ἰδοὺ τίθημι τράγον. τὸ γὰρ ἰσοπαλὴς, ἴσος γὰρ κλήρῳ. πάλος γὰρ ὁ κλῆρος. ἢ ἐκ τοῦ πάλη. Μὴ σπεῦδ' οὐ γάρ τοι πυρὶ θάλπεαι. Παροιμία ἐστὶν ἐπὶ τῶν διὰ, τι σπευδομένων. μὴ σπούδαζε. οὐ γὰρ ἐπὶ πυρὸς βέβηκας. σπεύδω ἐγὼ ἀμεταβάτως. ἐπὶ σπεύδω δὲ ἕτερ). Ἄδι) ἀσῆ. Ἤγουν ἡδέως μᾶλλον ἀσῆ. Τᾶδ' ὑπὸ τὰν κότιν). Ὧδε ἐλθὼν καὶ καθίσας ὑπὸ τῆς ἀγριελαίαν, καὶ τὰ δένδρα ταῦτα. τὸ τᾶδε. γὰρ ἄλλοις ἀντιγράφοις. γράφετε τεῖν δε. ἀντὶ τοῦ γὰρ ἐνταῦθα δωρικῶς. Ψυχρὸν ὕδωρ τηνεί. Ἀντὶ τοῦ αὐτοῦ καταῤῥεῖ ψυχρὸν ὕδωρ. γὰρ ταῦθα ἐκπεφυκυία ἐστὶ βοτάνη. καὶ ἥδε ἡστιβὰς ἡ ἐστὶν εἶδος βοτάνης τὸ τηνεί, γὰρ ἄλλοις γράφετε, ἐπίῤῥημα τικῶς ἀντὶ τοῦ γὰρ ἐνταῦθα. Καὶ ἀκρίδες. Καὶ ἀκρίδες γὰρ ταῦθα λαλοῦσιν. Ἀλλ' οὔτι σπεύδω. οὐδαμῶς σπουδάζω.

μεγα-

μεγαίλως δὲ ἀλγῶ, εἰσύ με τολμᾶς ἀτρέπτοις τοῖς ὄμ-
μασι προσβλέπειν. ὅν τινά ποτε ἐδίδασκον ἐγὼ ἄδειν
δηλονότι ἔτι παῖδα ὄντα. Ὅν ποκ' ἐόντα παῖδ' ἔ-
τι. Ταῦτα φησίν, ὑπὸ τῷ τὴν χάριν εἰς ἅμιλλαν αὐ-
τῷ συνεληλυθέναι πρὸ αὐτοῦ διδαχθέντα, ὡς καὶ προ-
σκαλεῖσθαι αὐτὸν εἰς ἅμιλλαν. Ἴδ' ἁ χάρις εἰς τί πο-
θέρπει. Θέασαι εἰς τί προσέρπει καὶ τελευτᾶ ἡ χά-
ρις ἡ ὀφειλομένη μοι δηλονότι. Θρέψαι καὶ λυκαδεῖς.
Ἐκθρέψειεν ἄντις καὶ λύκων ἐκγόνους, καὶ κύνας, ὑπὸ
τῇ λύμνῃ τῇ αὐτοῦ ὡς κἀγὼ οὗτον ἐδίδαξα ὑπὸ ἀχαρι-
στία. ἔστι δὲ οὗτος Σωκράτους. κακοὺς ποιῶν εὖ θρέψαι κύ-
νας. Παροιμία ἀπὸ τῶν κατ' αὐτῶν ποιούντων τί. Ἀ-
πὸ ἀκταίωνος, τοῦ ὑπὸ ἰδίων κυνῶν βρωθέντος. τάσ-
σεται δὲ, ὑπὸ τῶν ἀχαρίστων τοῖς εὐεργέταις. ἤτοι, τῶν
μὴ ὁμολογούντων χάριν τοῖς εὐεργέτοις. Ἀνδρίον.
Ἀνδράριον. ὑποκοριστικῶς ἀνθρωπάριον ἢ δωσγενὲς
καὶ ἀνελεύθερον. αὕτως δὲ, οὕτως. ἐν οὐδεμιᾷ, χρεία, μά-
την. Ἐπύγιζον. Πυγμαῖς ἔτυπτον. ἔκρουον. ἄτοπον
δὲ οὗτος φανερῶς εἰπεῖν. ἢ ἐπεράινον, ἐβάτευον· σὺ δὲ
ἤλγεις. αἱ δὲ αἶγες ἐβληχῶντο. ἤγουν ἐμηκῶντο βιαζόμε-
ναι ὑπὸ τῶν τράγων. τὸ βληχᾶσθαι γὰρ ὑπὸ προβάτων
λέγεται. καὶ ὁ τράγος αὐτὰς ὤχευεν. Μὴ βάθιον
τήνω πυγίσματος. Μὴ βαθυτέρου τύχης τάφου τοῦ
πυγίσματος, οὗ φής με εἴργεσθαι. τὸ δὲ ταφείης, ὡς ἐγὼ
πεπύγισμαι. Ἄλλως. Ταφείης, ἀντὶ τοῦ γαμηθείης βα-
θύτε-

θύτερον σὺ τοῦ πρὸς ἐμὲ ἐκ σοῦ πυγίσματος ὡς σὺ λέγεις. ἀρνεῖται δὲ διὰ τούτου. καὶ Ἀριστοφάνης δὲ ἐν Βατράχοις φησὶ περὶ τοῦ κλέωνος, περὶ τὸ κρυπτόμενον, καὶ ἔνδον νοούμενον. Ἐν ταῖς ταφαῖς τίλλεσθαι. Ἤγουν, ἐν καιρῷ συνουσιασμοῦ, τὰς τρίχας ἐκτίλλειν τῆς πυγῆς.

Ἄλλως. Εἴθε μὴ ἐν Βαθυτέρῳ, τάφω ταφείης ἐκείνου τοῦ πυγίσματος ὑβὲ, ἤγουν συγκεκαμμένε τὸν τραχηλον. κυρτέ. τὸ δὲ ὑβὸς, ἀπὸ τοῦ κυφὸς, ἀπεβολῆ τοῦ κ', καὶ τροπῆ τοῦ φ' εἰς β'. ὕβωσις καὶ λόρδωσις πάθη· λόρδωσις γὰρ ἐστὶ τὸ ἔμπροσθεν. ὕβωσις, τὸ μετὰ τὴν κεφαλὴν, πρὸ τοῦ ῥάχεως πάθος. κύρτωσις δὲ, τὸ μέσον τοῦ ῥάχεως. Καὶ ὕστατα βωκολιαξεῖς. Καὶ τελευταῖον τῇ βουκολικῇ ᾠδῇ χρήσῃ ἐρίζων. Οὐχ ἕρψομαι τηνεί. Οὐκ ἐλεύσομαι εἰς αὐτὸ τὸ μέρος. Τουτεὶ δρύες. Ἐν ταῦθα δρύες. Ὧδε κύπειρος. ὧδε καλῶς βομβοῦσιν ἐν τοῖς σίμβλοις μέλισσαι. ἐνθάδε εἰσὶ δύο πηγαὶ ὕδωρ ψυχρὸν βλύζουσαι αἱ δὲ ὄρνιθες ὑπὸ τῷ δένδρῳ λιγυρὸν ἄδουσι. καὶ ἡ σκιὰ οὐδαμῶς ὁμοία τῇ ὑπαρχούσῃ πρὰ σοί. καὶ ἡ πίτυς δὲ ἀπὸ τοῦ ὕψους, στροβίλους ἀφίησιν. Ὕπνω μαλακώτερα. Μαλακὸν τὸ χαῦνον καὶ ὑπεῖκον ὦ ἐναντίον τὸ σκληρόν. λέγεται δὲ μαλακὰ, ἐρία, καὶ κηρὸς, καὶ τὰ τοιαῦτα. ὁ δὲ ὕπνος, οὐ κατὰ ταυτὰ λέγεται μαλακὸς, ἀλλ' ὡς μαλακοποιός.

Στασῶ δὲ κρητῆρα. Παρόσον ἔλαιον ἐκτίθησι ταῖς νύμφαις. αὗται γὰρ ἐκθρέψασαι τὸν ἀρισταῖον, ἐδίδα-

ξαν

ξαν τὴν τοῦ ἐλαίου ὀργασίαν καὶ μέλιτος, ὡς φησιν Ἀρι-
στοτέλης. ἴσημι, ὁ μέλλω, σήσω. καὶ ἀλφικῶς σασῶ· οἱ
γὰρ ἀλφεῖς οὐ μέλλοντας πόλιασῶσιν. ἰσαῦ δὲ, τὸ ζυ-
γοσατεῖν καὶ τὸ ὀρθὸν πιθῴαι. ἐν ταῦθα τὸ ἀλοίτορον.
Καὶ γλαχὼν αὐθοῦσαν. Βλήχων, εἶδος βοτάνης. τὸ
κοινῶς βληχώνι). Γαυλὸς τῷ Γανί. Γαυλοὶ, ἀγγεῖα
χυτροειδῆ γαλακτοδόχα. ἐν οἷς πήουσι τὸ γάλα. πα-
ρὸ καὶ εἴρηται πλεοναςμῷ τοῦ ὑ. ἅ πινα καὶ ἀμολγέας
καλοῦσιν. σήσω τῷ ποιῶ, ὁκτὼ μὲν γαυλὸς γάλακτος
πεπληρωμένους ἀνηνόστι. Ὀκτὼ δὲ σκαφίδας, πλέα
τυρία. Σκαφίδες, ἀγγεῖα εἰς ἃ καττίθεσαν τὰς μι-
λικερίδας. τὸ δὲ πλέα, ἀντὶ τοῦ πλήρη, ἐν ᾧ εἰσι μελικη
ρίδες. Τὰν σαυτοῦ πατέων. Γλῶ ἀγνοεῖ, ἢ χώ-
ραν. ἴδιον ἐκ τῆς πρὸ μισίας. Σπάρταν ἔλαχες, πασπ-
τὰν κόσμει. Βοσρύζομες. ἀντὶ τοῦ καλέζομεν. Ξυλο
χίσλετου. Ξυλοῦνται. ξύλα τέμνων σκαλγή. ἔστι δὲ
καὶ πρὸ μία. Δρυὸς πρόσης, πᾶς ἀνὴρ ξυλοῦνται. Βο-
σρύομεν. δεικτικὸν ἀντὶ ὑποτακτικοῦ. καὶ τραφεῖ δία
τοῦ μικροῦ. ὄφρ δὲ διὰ τὸ μέτρον. Ἄμμες γὰρ ὁρίσδο-
μεν. Ἦγον. ἡμῖν δὲ ὁρὶς γέτονες, ὁ πότορος ἰὼ ἱερέπω
τῷ ἀπόλλωνι τῷ Βακολικῷ. ἢ ὁρίζοντες πρεώμεθα γνῶναι,
ὅς τίς ὅτι ἱερέπων Βακολικῶν μελῶν ὀργάνης. Τύνη
ὦ Φίλε μήτ' ἐμὲ μόρσων. Σὺ δὲ ὦ Φίλε μόρσων. μήτε
πὸς χάριν ἐμὲ ἱερίνης ὁμιλήσας καὶ πρὸς τὸ δίκαιον τῆς νί-
κης χαρίσῃ. μήτ' ἂν σύγε τότω βοηθήσης κατὰ χάριν. ἢ

μήτε

μήτε μιλῶ πᾷ ἰσλης ἀδικέμενον. Ἄ λέζοι ἀ ποίμνα, ὡς
ειατὸς ὁ ῥοί. Μή τυτίς ἠρώτα ποτ᾽ ὦ διός. ὄρ᾽ ὁ λάκων
φησίμ, ἀγανακτῶ τῷ πορπετεῖ καὶ πᾷ ῥέγω ϝ γλώτ
της. Φιλοκόρτομος. λοισθιεμῶ Φίλος. Εἶα λεγ᾽ εἴ-
τι λέγεις. ἔτι καὶ νεῶ τοῖς δ᾽ ὄχλος γινομένοις εὐώ-
θαμων ὄρ᾽ λέγειμ. ὧνες ποτὲ τὸμ ἄνθρωπον. λέγϝ δὲ τ-
τον τὸμ ξένον τὸμ πᾷ κληθέντα μεῖναι. Ἄλλως. Ἄγε
λέγε εἴτι λέγεις. καὶ τὸμ ξένον ἄφες ζῶντα αὖθις ἀπελ-
θεῖμ δηλονότι ὁμᾶ, αὐτὶ τοῦ ἐπανασρέψαι εἰς τ᾽ ἑαυτοῦ
πόλιμ. Ὦ πόποι. ὡδὶ ἀγανακτήσεως ϝ᾽ τοῦθα ἢ ἐπί-
κλησις. Καὶ τὸμ ξένον δ᾽ πόλιμ αὖθις ζῶντα ἄφες. τὸ
τέτιμ ἵνα μὴ ὑπὸ τοῦ μέλους ὥσπορ ὑπὸ τῶ σειρίωμ
μαρανθείς, ἀπόλυται. ὄρ᾽ δὲ εἰρωνικῶς φησίμ. Ἄλ-
λως. Τὸ τ᾽ φησὶ θέλων σκῶψαι αὐτὸμ τὸμ αἰπόλομ
ὡς ἀηδίες τι μέλος ἔλεξεν. καὶ ἴσως αὖ ἐκ ϝ ἀηδίας καὶ
ὁ μόρσων ἢ μιθυὴς ὑμήσεται. ἢ καὶ τέλος θανῇ. ἢ ζῶντ᾽
ἄφες, αὐτὶ τοῦ ταχιῶ. ἀπὸ τοῦ ζέω. σὺ γὰρ ταχεῖς, ζέον-
τας καὶ θορμὰς λέγεσι. ταῦτα δὲ φησιμ ὁ λάκων, ὡς
ϝαλεγομένου τοῦ Αἰπόλου τῷ μόρσωνι. Ταὶ μῶσαι μι
Φιλοῦνλι. Ἄρχεται ϝ ὡδῆς ὁ λάκων, ἣ φησὶμ αὐτ᾽
μᾶλλον ἢ τὸμ Δάφνιμ ὑπὸ τῶν μουσῶν Φιλεῖσθαι. εἶτα ὁ
λάκων, κἠ γὰρ ἐμὲ ὁ Ἀπόλλων Φιλεῖ μέγα, αὐτὶ τ᾽ μεγά
λως κἠ καταπολύ. Τὰ ϝ κάρνεα, κἠ δηὶ ἐφορπᾷ. Ἕπε
χεται. πᾷγίνεται. κάρνεα δὲ ἑορτὴ Ἀπόλλωνος Καρ-
νείου, ἀπὸ τινος κάρνου. ὄρος δὲ ὁ κάρνος μαντις ὢν, εἶπε-

το τοῖς ἡρακλείδαις, ἄσημα τούτοις μαντευόμενος ὅν τινα ἐκτραπεὶς εἷς τῶν ἡρακλειδῶν ἱππότης τ' οὔνομα, λόγχῃ βαλὼν ἀπέκτεινε. δι' ὃν λοιμὸς ἐγένετο ἐν τῇ πελοποννήσῳ. καὶ ἀπελθόντες, ἔλαβον χρησμὸν ἐξ Ἀπόλλωνος, κάρνειον τιμῆσαι Ἀπόλλωνα. ἐπεὶ οὖν ποιήσαντες, ἐπαύσαντο τοῦ λοιμοῦ. ταύτην οὖν τὴν ἑορτὴν καὶ οὗτοι οἱ μετοικήσαντες ἐκ πελοποννήσου εἰς ἑτέρας πόλεις, διὰ τὸν λοιμὸν ἐπετέλουν. Ἄλλως. Κάρνεα, ἑορτὴ δωρικὴ, τελουμένη καρνείῳ Ἀπόλλωνι, κατὰ τὴν πελοπόννησον, ἀπὸ κάρνου μάντεως ὃς ἔχρησε τοῖς ἡρακλείδαις. ἀπ' αὐτοῦ δὲ κάρνειον Ἀπόλλωνα προσαγορεύουσιν. ἡ δὲ ἱστορία. παρὰ Θεοπόμπῳ. ὅτι τὸν αὐτὸν, καὶ δία, καὶ ἡγήτορα καλοῦσιν ἀργεῖοι, διὰ τὸ κάρνον ἡγήσασθαι τοῦ στρατοῦ. ὃν οἱ ἡρακλεῖδαι ἀπέκτειναν ἀπερχόμενον εἰς πελοπόννησον, ὑπολαβόντες κατάσκοπον εἶναι τοῦ στρατεύματος. ὃν ὕστερον ἐτί μησαν ὑπὸ λοιμοῦ φθειρόμενοι. Ἄλλως. Πραξίλας μὲν, ἀπὸ καρνείου φησὶν ὀνομάσθαι τοῦ διὸς καὶ εὐρώπης υἱοῦ, ὃς ἦν σεβόμενος τῷ Ἀπόλλωνι. ἀλκμὰν δὲ, ἀπὸ καρνέου τινὸς τρωϊκοῦ. δημήτριος δὲ, ἀπὸ τοῦ κραΐναι ὅ ἐστι τελέσαι. φησὶ γὰρ ὡς ὁ Μενέλαος στρατεύσας εἰς ἴλιον, ηὔξατο τιμῆσαι αὐτὸν ἐὰν κραΐνῃ. Ἄλλως. Καρνεα ἑορτή ἐστι διὸς καρνεῖα ὀνομαζομένη. παρ' ἕλλησι δὲ τελεῖται, διὰ τὸ τὸν δούρειον ἵππον, ἐκ καρνείου εἶναι ξύλου. Καίμ' ἁπαῖς ποθορεῦσα. Καί με ἡπαῖς ὁρῶσα. τὴν σεβομένην αὐτοῦ ἀλκίπ

πην

πλωλέγω. ὁ δὲ ὀρθῶς, ἀπολικόν. Φθῦ. φθῦ. λάθων-
φι. Τὸ φθῦ, ὡς θαύματος. τὸ δὲ ζῦ, πρόσωπον. Γλαῦ
κύω, τὰς λοιπὰς διδυματόκους. Τὰ ἀπὸ τοῦ τίκτειν
συγκείμενα, εἰ μὲν προπερισπάται, πάθος δηλοῖ. εἰ δὲ
περισπάται, γονόργειαν. ὡς καὶ τὰ πρὸ τοῦ τίκτειν καὶ
τρέφειν. οἷον, πρωτότοκος. ὁ πρῶτος τεχθείς. διδυμα-
τόκος αὖξ, ἡ δίδυμα τεκοῦσα. δοκεῖ δὲ ὁ διδυματόκος,
ἀπὸ τοῦ διδυμοτόκος γίνεσθαι. τροπῇ τοῦ ὁ εἰς ἡ. εἶτα
τοῦ ἡ εἰς α. διὸ καὶ μακρὸν ἔχει τὸ α. Ταλαεργῶς, σὺν
μαλαθίσκοις ἢ οἷς τυρὸν τὸ γάλα. Ἐν ἄνθεσιν. Ἐν
τῷ ἄνθει ἡ ἡλικίας χάριεν. οὐδὲ δὲ εἶπεν, ὡς ὄντος αὐτὸν
παιδεραστοῦ. Ἄλλως. Τὸ μὲν ἔξω, τοῖς ἄνθεσι τοῦ τυ
ροῦ τὸν παῖδα τοῖς χείλεσι προσχρίει. Τὸ δὲ ἔσω, ἢ τοῖς
αὐθώδεσι τόποις, τὸν ἄνηθον, τὸν μικρὸν ἔτι καὶ ἀτε-
λῆ παῖδα τὸν μεσοπόλων δηλονότι, μολύνει. Βινεῖ.
Βάλλει καὶ μάλθοισι. Γεραῖται μὲν εἰς ὀρῶτα ὑπαγα-
γεῖν. τὸ γὰρ μήλοις βάλλει ὡς τοῖς ἔταροι. Ἀκλεα-
είστα. Ἡ τοῦ Ἀλεαείστου θυγάτηρ ἀλκίππη, ἡ ὁρωμένη
αὐτῷ. Τὰς αἶγας προελῶντα. Ἤγουν προήλασε καὶ
προέβαλεν. ἤγουν νίκησεν ἐμὲ ἡ ἀλκίππη. τὸ δὲ προε-
λῶντα ἢ τοῦθα, ὡς τοῦ προακολουθεῖν καὶ ἐλαύνειν λέ-
γεται. Καὶ ἀδύπι ποππυλιάσδει. Καὶ ἡδὺ τινὰ
συρισμὸν συρίζει. Κἠμὲ γὰρ ὁ Μεραπίδας τὸν ποιμέ-
να λεῖον ὑπάντων ἐκμαίνει. Καὶ ἐμὲ δὴ ὁ Μεραπίδας
τὸν πρόβατα νέμοντα, ἀγλύειον ὑπαντῶν, εἰς μανίαν

σῶρος ἐμβάλλει. Ἀλλ' οὐ σύμβλητ' ἐστὶ κυνόσβατος, οὐδ' ἀνέμονα. Ἤγουν συγκρίνεσθαι δυναίμενά εἰσιν. ἢ συγκρίσεως ἄξια. λέγει δὲ τῆς διαφορὰν τῆς θηλείας ἀπὸ τοῦ ἄρρενος. φυτάριον δὲ ὁ κυνόσβατός ἐστιν, ὅμοιον ῥόδῳ ἔχον τὸν καρπόν. ἔστι δὲ μεταξὺ θάμνου καὶ δενδρῶν, πρόμοιον ταῖς ῥοιαῖς, ἢ ταῖς ῥοδέαις. ἀκανθῶδες, ὥς φησι Θεόφραστος. ἔστι δὲ ὁ κυνάκανθος. Οὐδ' ἀνεμώνα. Ἀνεμώνα, ἄνθος ἄοδιμον. ὃ φασὶν ἀναδοθῆναι ἐκ τοῦ αἵματος τοῦ ἀδώνιδος. Ἄλλως. Τὴν ἀνεμώνην νίκανδρος φησὶν ἐκ τοῦ ἀδώνιδος αἵματος φυῆναι. κρατεύας δὲ ἢ κρατίδης κατά τινας, δύο φησὶν εἶναι τὰς ἀνεμώνας. τὴν μὲν ἄνθος ἔχουσαν μέλαν. τῆς δὲ φοινίκεον. σωσίβιος δὲ τὰς ἀνεμώνας πρὰ λαίκωσι, φαινίδας καλεῖσθαι φησί. ῥόδον δὲ, πρὰ τὸ θᾶττον ἀπορρεῖν. ῥοῶδες γάρ ἐστιν, ἤτοι φθειρόμενον. Τῶν, ἄνδηρα πρὸ αἱμασιαῖσι. ὧν τινων δηλονότι τῶν κυνοσβάτων, καὶ τῶν ἀνεμώνων, ἄνδηρα ἤγουν ἄνθη, ἐν ταῖς αἱμασιαῖς εἰσίν. ἄνδηρα νῦν τὰ ἄνθη. ἢ τὰ ἄκρα. κυρίως δὲ ἄνδηρα, τὰ ἐπάνω τῶν ὀχετῶν τῶν ὑγρῶν, ἤτοι τὰ χείλη τοῦ ποταμοῦ, πρὰ τὸ ἄνω διερῶν εἶναι. τῶν γὰρ ῥόδων τὰ ἄκρα, καὶ πρωτεύοντα, φύονται ταῖς αἱμασιαῖς. ἢ κυρίως ἄνδηρα, τὸν ἐνύγρον τόπον, καὶ τὰ τῶν ποταμῶν ἀναχωρήματα γίνωσκε. Οὐδὲ γὰρ οὐδ' ἀκύλοις. Τοῖς τοῦ πρίνου βαλάνοις. ἄκυλος γὰρ, ὁ τοῦ πρίνου καρπός. αἱ μὲν γὰρ ἄκυλοι, λεπτόσαρκοι φησὶ καὶ σκληραὶ, ἢ ξηραί. αἱ δὲ ὀρι-

μαλί-

μαλίδες δηλονότι, ἡ δεῖαι. φησὶν οὖν ὅτι ὁ μὲν κρατίδας, μελίχρους. ἡ δὲ κλεαρίστη, ἀειδής. ὀρομαλίδου δὲ, τὰ ὄρια μῆλα. ἢ τὰ ἐν ὄρει μῆλα. ἀσκληπιάδης δὲ διὰ τοῦ ὠ μεγάλου γράφει. ἔστι δὲ τὰ συνακμάζοντα τοῖς σύκοις μῆλα. Αἱ δὲ μελιχραί. Τινὲς οὕτως ἑρμηνεύουσιν. αἱ μὲν ἔχουσι λεπτὸν λέπυρον αἱ δὲ μελιχραί. ἤγουν, χροιὰν ἔχουσι μέλιτος. κιτρινοειδεῖς. ὁ δὲ καρπός τοῦ πρίνου, κροκοειδής ἐστι. ποιεῖ οὖν ὁ Λάκων τὴν μὲν κλεαρίστην, κιτρινοειδῆ καὶ οἱονεὶ ἄμορφον. τὸν δὲ κρατίδαν, κροκοειδῆ, καὶ οἷον εὔμορφον. Κἠγὼ μὲν δωσῶ τᾶ παρθένω αὐτίκα φάσσαν. Καὶ ἐγὼ φησὶ δωσωτῆ παρθένω ἀλκίππη αὐτίκα φάσσαν. τὴν ταχυτῆτα θέλει δηλοῦν τὸ αὐτίκα. ἐπεὶ ἄλλως, πῶς αὐτίκα δώσει ἡ οὔπω ἀκὸ τοῦ ἀρκεύθου καθεῖλεν. φάσσα δὲ ὄνομα ὀρνέου. Ἀλέξανδρος δὲ φησιν ὁ μύνδυος, ὅτι ἡ μὲν φάσσα, ὑποκυάνεον ἔχει τὴν κεφαλὴν, καὶ μᾶλλόν γε ἐμπόρφυρον. τῶν τε ὀφθαλμῶν λευκῶν ὄντων, τὸ ἐν αὐτοῖς μέλαν στρογγύλον ἔχει. Ἐκ τᾶς ἀρκεύθω. Ἄρκευθος ὄνομα δένδρου ἀκάρπου· φησὶ γὰρ ὁ Θεόφραστος, ὅτι τῶν ἀγρίων ἐστὶν, ἐλάτη, πεύκη, ἄρκευθος, μελία, οἰία, καὶ ἀνάρυκα. ἣν καλοῦσι φέλλοδρυν. Τὰν οἴν τὰν πέλλαν.

Τὴν μέλαιν. τὴν χρῶν τοῦ σώματος ὑπὸ φάνειαν ὅτε ὑφ' αἵματος μελανθῆ πελίδνωμα καλοῦμεν. ἢ τὰν πέλλ σκοτεινὴν, μέλαιναν, πορφυρὰν. τὴν χρῶν τοῦ σώματος ὑπὸ φάνειαν ἡνίκα δι' ὑποδρομὴν αἵματος μελαίνητο, πέλλα

μα. ἢ πελίδνωμα καλοῦσιν. ὃ τῇ ἀφροδίτῃ συμβεβη-
„ κέναι φησὶν Ὅμηρος· Μελαίνετο δὲ χρόα καλόν. Ὁπ-
πόταν πέξω. πείκειν κυρίως, τὸ ξαίνειν. ἐν ταῦθα δὲ τὸ
„ κείρειν. ὡς καὶ παρ' Ἡσιόδῳ· Ἡ μὲν ὄϊς πείκειν, ἠδ' εὔ-
„ φρονα καρπὸν ἀμᾶσθαι. τὸ δὲ εὖ χλαῖναν, ἀντὶ τοῦ εἰς
„ τὸ ἐργάζεσθαι χλαῖναν. Σίττ' ἀπὸ τᾶς κοτίνω. Τοῦ-
το μεταξὺ τῆς ὠδῆς ἐπεφώνησε πρὸς τὰς αἶγας. ἀναχω-
ρεῖτε τῆς ἀγριελαίας. Ὧδε νέμεσθε. Ἐν ταῦθα ἐλ-
θοῦσαι, βόσκεσθε. εἰς τὸν ἀνεστηκότα οὗτον λόφον καὶ κα-
τάντη. ἤγουν ὀξύν. ἅ τε καὶ ὅπου αἱ μυρσίναι. Οὐκ ἀπὸ
τᾶς δρυός. Ἀπόστη τε φησὶν ἀπὸ τῆς δρυὸς ἐκ κατὰ οὗτον
τὸν ἐρῶ βόσκεσθαι τῆς ἰταλίας, ἔνθα τὸ ὄρος ὁ φάλα-
ρος, πρὸς ἀνατολὰς κείμενον. καὶ ἀσληπιάδης χωρίον
οὗτο φησί. τὸ νῦν καλούμενον φάλαρον. ἔστι δὲ ὄνομα ὄ-
ρους, εἰς ἀνατολὰς κείμενον. ἄλλοι δὲ φάλαρον λέγουσι,
τὸν λευκὸν κριόν. φαλὸν γὰρ τὸ λευκόν. καὶ Ὅμηρος
κείματα φαληριόωντα λέγει τὰ λευκαινόμενα. τὸ δὲ
τουτεὶ, ὑπερρηματικῶς ἀντὶ τοῦ ἐν ταῦθα. Ὁ κώνα-
ρος. Κώναρος διὰ τὸ κέρατα περιφερῆ, καὶ τρα-
χέα ἔχειν, ὡς κώνους. ἤγουν, στροβύλους. Κιναίθα. Ἡ
πρὸς τὸ κινεῖσθαι διὰ πυρός. ἤγουν, ταχεῖα ὄϊς. παρὰ τὸ
κινῶ, καὶ τὸ αἴθω τὸ καίω. Ἄλλως. Κιναίθα. Τοῦ-
το τῆς αἰγός ἐστιν ὄνομα. τινὲς δὲ τῆς εὐκίνητο ἀκούουσιν αἰ-
θὸν γὰρ τὸ πυρῶδες. δαίει γὰρ ἐν κινήσει τὸ πῦρ. ὅθεν
Ὅμηρος οὐδὲ λέοντας, αἴθωνας φησίν. Ἔργον πραξι-
τέλους.

τέλευς. Ἀντὶ τοῦ εἰπεῖν θαυμάσιον, λέγει τὸ ὄνομα τοῦ τεχνίτου, ὡς ἐξάκουστον. δύο δέ φασι πραξιτέλεις. τὸν μὲν ἀρχαιότερον ἀνδιναντοποιόν, τὸν δὲ νεώτερον, ἀγαλματοποιόν, οὗτος δὲ ἦν, ὑπὸ δημητρίου τοῦ βασιλέως. περὶ οὗ φησὶν ὁ Θεόκριτος· Κύων φιλοποίμνιος· Ἐν τῇ ποίμνῃ φιλῶν ἀναστρέφεσθαι. ὃς λύκον πνίγει. ὃν δίδωμι τῷ παιδί, ὥστε ἐλαύνειν πάντα τὰ θηρία. λέγεται τὸ διώκειν. ὑπὸ τοῦ ἀγρεύειν, καὶ αἱρεῖν. Ἐντὶ γὰρ ἅβαι. Τετραχῶς καὶ οὗτο γράφεται ἐν τοῖς πρὸ ἡμῖν ἀντιγράφοις. οἷον ἅβαι. ἀντὶ τοῦ ἡβῶσαι καὶ ἀκμάζουσαι. καὶ αὖαι. ἤγουν, ξηραί, καὶ ἄζαι· ἐν τοῖς ἀγγείοις γὰρ ἐπειδάντι καταλειφθῇ, ξηρανθὲν ἐξάλλεται. ἢ τὸ καταλειφθὲν ἐν τοῖς ἀγγείοις, ἄζα γέλεται. γράφεται δὲ ἐν τὶ γὰρ αὗται. καὶ λέγει ἀντὶ τοῦ μόναι. Τοὶ τέττιγες ὁρῇ τε τὸν αἰπόλον. Οὕτω φησὶν ὡς ὁρᾷ τε τὸν αἰπόλον πρεθίζοντά με εἰς ἅμιλλαν, οὕτω καὶ ὑμεῖς ἐρεθίζετε. ἤγουν διεγείρετε τοὺς καλαμευτάς, ἀντὶ τοῦ οὐθεριστὰς εἰς ἐργασίαν, ἄδοντες δηλονότι. τὸ δὲ θὴν, ἀντὶ τοῦ ὑπὸ πολὺ, ἢ ἀντὶ τοῦ δή. Μισέω τὰς δασικέρκος ἀλώπεκας. Τὰς ἐχούσας δασείας τὰς οὐράς. τὰς ἐχούσας οὐρὰς πολυτρίχους. πλήρεις τριχῶν. κέρκος γὰρ ἡ οὐρά. αἵτινες πραγενόμεναι κατὰ τὰ πρὸς ἑσπέραν ῥαγίζοντι. ἀντὶ τοῦ τὰς ῥάγας ἀναλέγουσι. ῥαγολογοῦσιν αὐτάς. δι' ἀλληγορίας ὁ Κομάτας φησὶν, ὅτι ὁ Λάκων ἐν ταῖς μίκωνος, ἀμπέλοις δηλονότι, ἀεὶ πραγενόμενος

ηζ τὰ πρὸς ἑαυτόν. ἢ καὶ ηζ πᾶσαν ἑαυτόν, ἀγορεύει αὐτάς. αὐτὴ δ' πορνεύει. ἢ πορνεύεται. Ἄλλως.

Τινὲς δ' τῶ ηζ τὸ ἔσω νοούμενον λέγουσι. μισῶ σοὺς ἄνδρας σοὺς γνήσιους, καὶ ολασυπύγους, οἱ φοιτῶντες ολὰ τὴ νυκτὸς, τὰ τοῦ μίκωνος ἀγαπῶντες. ἢ γυναῖκα τολμᾶσιν. ἐαθίσαι ολγλωνότι τῶ αὐτοῦ βινούμενοι. ἀλλ' ὠπυξὶ δὲ ἔικασε τούτους, ὡς πανούργους καὶ ολόρους. Καὶ γὰρ ἐγὼ μισῶ σοὺς λιανθάρως. Καὶ ὁ ἕτερος ὧν τῆ αὐτῆ γνώμης ἀλληγορεῖ ἐμφαίνων σοὺ πραίνοντας, καὶ πορνεύοντας τὴν λιομολόχην αὐτὸν ηζ τῶν συκώλη φύσιν. Οὐ μέμνασ' ὅτ' ἐγὼ λατήλαξα. Οὐ μέμνησαι ὅτε ἐγώ σε ἐπαίνουν, καὶ σὺ γελῶν ἐκινῦ προσερχόμενος καὶ ὀκ ἀπεφεύγω, ὃν γὰρ ολώκεται ἢ πρός. σὺ δὲ ἐλαμβάνε, καὶ ἢ πρὸς ἐκείνης τοῦ ολρυός. Ἄλλως. Τὰς προειρημένας ἐμφάσεις ολὰ τούτου βεβαιοῖ, λέγων. ὃ μέμνησαι ὅτε σε ἐπαίνουν λατ' ἐκείνην τὴν ολρῦν, σὺ δὲ σεσαρὼς καὶ γελῶν λατεκίνε καὶ ἐσπλοῦε; γράφεται τὸ σεσαρὼς γνήσιος, καὶ σιγηρῶς. Εὖ ποτε λιυγχλίζου. Κιυγχλίζειν λέγεται τὸ σαλεύεσθαι, καὶ λινεῖσθαι. εἴρηται ἢ μεταφορικῶς, ἀπὸ τ' γνῶ τῆ θύρᾳ λιυγκλίσθης. ἔστι δὲ κόραξ σιλιγρὸς, ἐμπίπτων εἰς τὸ μέσον καὶ ὑποκρατῶν τὴν θύραν. Ἄλλως. Ποτὲ λιυγκλίζου. Προσελινε. ἀπὸ μεταφορᾶς τ' λίγκλε ὅτω λαλαμένε. γνήσιοι σεσοπυγίσται λαλοῦσιν. ἀφ' ὧν ἡ λέξις μετλώκται. λιυγκλίζομ ἢ, τὸ τ' ὀσφῦν λινεῖν φασίν. ὥσπερ δὲ πρὸ τὸ γνῶ γίγνω, ὅτω καὶ

καὶ πρὰ τὸ κλῶ, κίκλω. καὶ κίγκλος. Τοῦτο, μὲν οὐ μέ-
μνα μ', ὅκκα μὰν τῇ δέ τυ. Γράφεται καὶ τεῖν δέ τυ.
Τοῦτο μὲν, οὐ μέμνημαι. Ὅτε δὲ ὁ εὐμαίρας ὁσὸς δε-
σπότης δεσμεύσας ἐμαστίγωσεν, ἀκριβῶς ἐπίσταμαι. ἢ
περὶ οὗ μοι εἶπας, οὐ μέμνημαι. οὗτο δὲ γινώσκω, ὅτι ὁ δε-
σπότης σου δήσας σε ἐπύγιζεν. ἐμόλυνεν. ὅπερ δηλοῖ
τὸ ἐκάθηρεν, ἀντὶ τοῦ ἔτυπτε καὶ ἐξέδαιρε. καὶ Ἀριστο-
φάνης. πέδει τὰς πλευρὰς, καὶ ἐκάθηρεν. Οὐχὶ πα-
ρήσθευ. Οὐκ ἐνόησας. οὐ κατά τι ἠσθάνθης. Ἤδη τις
μόρσων πικραίνεται. Ὦ μόρσων. ἀπὸ τοῦ νῦν τις δαί-
κνεται, λυπεῖται. πικρίαν ἔχει, νικώμενος ὑφ' ἡμῶν.
Σκίλλας ἰὼν γραίας. Σκίλλα εἶδος βοτάνης πάντη
ἀχρήστου. γραίας δὲ, τὰς γεγηρακυίας, καὶ ξηράς. ὁ λόγος
πάλιν πρὸς τὴν λαίκωνα. ἄζιος εἶ φησὶ μᾶλλον ἀπελθεῖν
εἰς τὰ μνημεῖα, καὶ τὰς γεγραιωμένας καὶ παλαιὰς καὶ ξη-
ρὰς σκίλλας τίλλειν, ἤπερ ἐμοὶ ἐρίζειν. αὗται γὰρ παν-
τελῶς ἄχρηστοί εἰσι. καλοῦνται δὲ σκιλλοκρόμμυα. ἢ οὕτω
φησὶ κατὰ τὸ ἔσω νοούμενον. ἀπελθὼν τίλλε φησὶ τὰς πα-
λαιὰς τρίχας τοῦ τάφου σοῦ. ἤγουν, τῆς πυγῆς σοῦ. τὸ τίλ-
λοις, γράφεται καὶ τίλλειν ἀντὶ τοῦ τίλλε, καὶ κόπτε. Ἐλ-
θὼν τὰν κυκλάμινον. Ἡ κυκλάμινος, βότανόν ἐστι
ποιῶδες. λεπτόρριζον. ὅπερ χλιασθὲν, ποιεῖ πρὸς χίμε-
τλα. Εἰς τὸν ἀλέντα. Ποταμὸς οὗτος ἐν ἰταλίᾳ. ἐλέ-
γετο οὕτω καὶ τόπος τις ἐν κῷ. Ἱμέρα ἀννθ' ὕδατος.
Ἱμέρα, πόλις ἐν σικελίᾳ. καὶ πηγὴ ἀφ' ἧς ῥεῖ ποταμός.

ὁμωνύμως τῇ πηγῇ καλούμενος. ἐν ταῦθα δὲ, τὸν πο-
ταμὸν λέγει. Καὶ κράθι. Ποταμὸς καὶ οὗτος περὶ σύ-
βαριν. Οἴνω πορφύροις. Βλύζοις, ὑπὸ οἴνου εἴθε πορ
φυροῦς εἴης. τουτέστιν εἰς οἶνον μεταβληθείης. Τὰ δὲ τοι
σία. Βοτάνη τίς ἐστιν. ἢ ἀνθύλλια ὅμοια σελίνω, ἐν τοῖς
ποταμοῖς τρεφόμενα. κατὰ δὲ τινας τὰ πρὸς τοῖς ποτα-
μοῖς φυόμενα βροῦλα. Χ' ἁ συβαρῖτις ἐμίν. Πηγὴ
ἐν σικελίᾳ. τὸ δὲ ἐμὶν, ἀντὶ τοῦ χάριν ἐμοῦ. Καὶ τὸ ποτ'
ὄρθρον. Καὶ κατὰ τὸ πρὸς ὄρθρον. μετὰ τοῦ πρὸς. προθέ-
σεως λέγεται, διὰ τὴν τοῦ χρόνου κίνησιν. Τὰν κάλ-
πιδα κυρία βάψαι. Γράφεται καὶ, τὰ κάλπιδη.
ἤγουν, τὴν ὑδρίαν εἰς κηρόμελι καταδύσαι. ἢ ἀντὶ τοῦ
τὴν ξύλινον ὑδρίαν ἐν τοῖς κυρίοις βάψαι. καὶ ἡ ἐμή
φησιν ἐρωμένη τῇ ὑδρίᾳ, τὸ ῥέον ἀπὸ τοῦ κρήνης μέλι,
ἀντλήσει. Κύτισόν τε. Κύτισος, αἴγιλος, καὶ σχῖνος,
θάμνοι εἰσὶν, οὓς ὑπνέμονται αἱ αἶγες. Ἐν κομάροισι
κέονται. Κόμαρος, εἶδος δένδρου. κέονται δὲ, ἀντὶ τοῦ
κεῖνται. καθέζοντο. Μελίτεια. Εἶδος βοτάνης γλυ
κυζούσης. Καὶ ὡς ῥόδα κισσὸς ἐπανθεῖ. Κισσός ἐστιν
εἶδος βοτάνης ἀκανθώδους ἐοικυίας ῥόδοις. ἐν ἑτέροις δὲ,
ῥοδάκισσος γράφεται ἐν μέρος λόγου. ἔστι δὲ καὶ αὕτη
τῶν θάμνων, γλυκώδες ἄνθος προϊεμένη. περὶ τὰ γό-
νατα δὲ τῶν τράγων καὶ τὸν πώγωνα πήσσετο. Ἀλλ'
ἐγὼ εὐμήδεος. Ἀντὶ τοῦ εὐμήδους. ἕτερος οὗτος ὡς ἐοι-
κὲν ἐρώμενος αὐτοῦ. Ὤρεξα. Ὀρέγω τὸ ἐκτείνω. ἐπεὶ

δὲ ὁ

δὲ ὃ δίδωσί τις ὀρέγων τὴν χεῖρα δίδωσιν, ὤρεξα λέγει, ἀντὶ τοῦ ἔδωκα. Ἐσσὶ φιλεχθής. Εἰς ἔχθος καὶ μίσος τοῦ φίλους ἄγων. ἢ φιλόνεικος. Κίσσας ὀρίζειν. Κίσσα, εἶδος ὀρνέου ἀμουσου. ὑπὸ θυμητικοῦ, μιμηλοῦ. ὅθεν ὑπὸ γυναικῶν τὸ κισσᾶν παραλαμβάνει. πρόσον μὴ γεννῶσαι, ἀηδίζονται πρὸς τὸ ποιεῖν. ὁ νοῦς. ὥσπερ ἀπρεπὲς ἐστι κίσσαν ἀηδόνος φιλονεικεῖν οὐδ' ἔποπας πρὸς κύκνους, οὕτω οὐδὲ σὲ πρὸς ἐμέ. σὺ δὲ ταλαίπωρε ἔοικας φιλόνεικός τις, καὶ δύσερις εἶναι. Τίν δὲ κομαῖτα δωρεῖτε μόρσων. Σοὶ δὲ κομάτα τῷ νικήσαντι δίδωμι τὸ ἔπαθλον. καὶ σὺ δὲ θύσας αὐτὴν δηλονότι τὴν ἀμνίδα ταῖς νύμφαις, καλὸν κρέας ἐμοὶ τῷ μόρσονι εὐθὺς πέμψ). Φειμάσεο. Τουτέστι μέθ' ἡδονῆς σκίρτα φυσῶσα τοῖς μυκτῆρσι, καὶ ἐπαίρου πᾶσα ἀγέλη τῶν τράγων. τὸ δὲ φειμάσεο, ἀπὸ τοῦ ἤχου τῶν αἰγῶν ὀνοματοπεποίηται. λέγεται δὲ τοῦτο καὶ ὑπὸ τῶν ἵππων. καλεῖται δὲ ὁ τρόπος ὀνοματοποιΐα. ἢ φειμάσσεο, φειγμαδὸν ἀπὸ δίδου μετὰ ἡδονῆς. τουτέστι, βρενθύου καὶ ἐναμβρύνου ὦ πᾶσα ἀγέλη. πεποιημένη δὲ ἡ λέξις. τριοῦτος γὰρ δοκεῖ εἶναι ὁ ἦχος τοῦ πταρμοῦ τῶν αἰγῶν. Κἠγὼ μὲν ἴδ' ὡς μέγα καχαξῶ. Ἀντὶ τοῦ καὶ ἐγὼ σὺν ἡμῖν καταγελάσω τοῦ λαϊκωνος. τὸ δὲ καχαξῶ, ἐκβολῆ τοῦ γ', εἴρηται διὰ τὸ μέτρον. οὐ κυρίως δὲ τῇ λέξει κέχρηται, φειμαγμὸς μὴ γάρ ἐστι κυρίως ἡ τῶν ἵππων. βληχὴ δὲ, ἡ τῶν αἰγῶν καὶ προβάτων. Ἀνυσάμαν. Τὴν νίκην ἔλαβον. Ἐς οὐρανὸν

ὕμμιν ἁλεῦμαι. Ἐκ περιχαρίας φησὶν ὦ αἶγες κερουχίδες ἤγουν κερασφόροι, εἰς τὸν οὐρανὸν ἀναβήσομαι. κερουχίδες, αἱ κέρατα ἔχουσαι. ἢ κεκρατημέναι τοῖς κέρασιν. ἢ κερουχίδες, αἱ οὖλα κέρατα ἔχουσαι. κερουλκίδες δὲ, αἱ ἀπὸ τῶν κεράτων ἑλκόμεναι. Ὁ λευκότας. Ὁ λευκός. πεποίηται τὸ ὄνομα ἀπὸ τοῦ λευκότητος τοῦ τράγου. ὡς γὰρ ἀπὸ τοῦ μέσος μεσίτης, καὶ ὁδὸς ὁδίτης· οὕτω καὶ ἀπὸ τοῦ λευκὸς λευκίτης. Ὁ κορυπτίλος. Ὁ τοῖς κέρασι πλήττων ἀπὸ τοῦ κορύπτω τὸ κερατίζω. πρὸς τὸν τράγον δὲ οὕτω φησὶν, ὑπὸ τρέχοντα ταῖς αἰξὶ καὶ τοῖς κέρασι τύπτοντα. φυσὶν οὖν, εἴ τινα ἀπὸ τῶν αἰγῶν ὀχεύσεις πρὶν ἢ ἐμὲ καλλιερῆσαι ταῖς νύμφαις τὸν ἀμνὸν, ὃν ἐνίκησα τῷ λάκωνι, θλάσω σε. ἀντὶ τοῦ θλάσω σου τὰ αἰδοῖα. Ὁ δ' αὖ πάλιν. Ἐπιχειρεῖ ὀχεύειν δηλονότι. Ἀλλὰ γενοίμαν. Ἀλλ' ἐὰν μήσε θλάσω, γενοίμην ἀντὶ κομάτα μελάνθιος, καὶ κολασθείην ὥσπερ ἐκεῖνος ὑπὸ εὐμαίου. Ἐπιλοίτιος ἐγὼ, ἐν τοῖς ὀδυσσέως οἴκοις.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Ϛ ΤΟΥ Θεοκρίτου εἰδύλλιον.

Ἐπιγράφετε τὸ πρὸν εἰδύλλιον, βουκολιασταί. Δαφνις ἐν Δαμοίτας. Δαμοίτας, καὶ Δαφνις ὁ βουκόλος εἰς ἕνα χῶρον τὰν ἀγέλαν πόκ' ἄρατε. πρὸς τὸν ἄρατον τὸν ποιητὴν τὸν τὰ φαινόμενα γράψαντα φίλον ὄντα διαλέγοντε ὁ Θεόκριτος. ἰσόχρονος γὰρ ἦν αὐτῷ.

ὃ καὶ

ὃ καὶ ἀλλαχόθεν μνημονεύει, ἔνθα πρὸς ἀγεάνακτα τὸν
μιτυληναῖον ὡμίλει. Ἄλλως. Εἰκὸς τὸν ἀστρονόμον
ἄρατον εἶναι ὡ συγκεχρονίκει ὁ Θεόκριτος· ὃ μέμνηται καὶ
» ἐν τοῖς θαλασίοις. Ἄρατος δ' ὁ τὰ πάντα φιλαίτα-
» τος ἀνέρι τήνω. Κεῖντ' δὲ δύο ἀνέρες ἄδοντες ἐν σι-
κελίᾳ, δαμοίτας, καὶ Δαφνις. ἄδουσι δ' ἀμφότεροι τοῦ
πολυφήμου κύκλωπος τὸν ἔρωτα τὸν ὑπὲρ Γαλατείας. ὁ
δὲ Δαμοίτας οἵους ἂν πολύφημος ἀρκεινόμενος λόγους
ἔφη, πρὸς τοῖς ὑπ' ἐκείνου εἰρημένοις. Ἧς δ' ὁ μὲν αὐ-
τῶν πυῤῥός. Ἦν δὲ τῶν ἀδόντων ὁ μὲν, ἄρτι χνοάζων τὸ
γένειον. ὁ δὲ, πληρώσας αὐτὸ ταῖς θριξίν. ἢ πυῤῥὸς ὁ ἀρ-
» τίχνους. ὁ ἤδη πωγωνίτης. ὡς Εὐρυπίδης· Πυῤῥὸς
» γενύεσσιν. Ἡμιγένειος δὲ, ὁ οὔπω πᾶσαν γένυν πεπλη-
ρωμένην ἔχων γενείον. Ἐσδόμενοι θερέος μέσω ἤματι.
Μεσούσης ἡμέρας. ἢ ἐν μεσαιτάτῳ τοῦ θέρους. ἢ ἐν μέσῳ
ἡμέρας τοῦ θέρους. Βάλλει τοι πολύφαμε. Ὡς πρὸς
πρόντα τὸν κύκλωπα διαλέγετ'. μήλοισι μηλοβολεῖ,
εἰς ἔρωτα ὑπάγεσθ' βουλομένη. δυσέρωτα δὲ εἶπεν αὐ-
τὸν, ἤγουν μὴ εἰδότα ἐρᾶν, πρόσον οὐκ ἐπέτυχεν αὐτῆς. θοῦ-
ρις φησί, διὰ τὴν εὐβοσίαν τῶν θρεμμάτων καὶ τοῦ γάλα-
κτος πολυπλήθειαν, τὸν πολύφημον ἱδρύσασθαι ἱερὸν
πρὰ τῇ αἴτνῃ γαλατείας. Φιλόξενον δὲ τὸ κυθήριον ὑπο-
δημήσαντα, καὶ μὴ δυνάμενον νοῆσαι τὴν αἰτίαν, ἀναπλᾶ-
σαι ὅτι πολύφημος ἤρα τῆς γαλατείας. Τὸν αἰπόλ' ἄνδρα
καλεῦσα. Τὸν ἄνδρα τὸν ποιμένα. ἀντὶ γὰρ τοῦ εἰπεῖν

ποιμέ-

ποιμένα. καταχρηστικῶς εἶπεν αἰπόλον. ἐπεὶ καὶ ὁ κύ-
κλωψ ποιμὴν ἦν, ἢ ἐπεὶ καὶ αἶγας ἔνεμεν ὁ κύκλωψ.
„ καὶ Ὅμηρος· Μῆλ' ὄϊές τε καὶ αἶγες. Τέως γοῦν τὸ,
αἰπόλον ἀντὶ τοῦ ποιμένα εἴρηται. Καὶ τύνιν οὐ ποθο
ρῆσθα. καὶ σὺ αὐτὴν οὐ προσβλέπεις. Πάλιν ἅδ' ἰδὲ,
τὰν κύνα βάλλει. καὶ πάλιν αὕτη τὴν κύνα βάλλει
τοῖς μήλοις. τὸ γὰρ ἰδὲ, ἀντὶ τοῦ καὶ γράφεται καὶ ἁδὶ
δὲ, καὶ λέγει τὸ σχόλιον οὕτω. τινὲς χωρὶς τοῦ δὲ γράφου-
σιν, ἐκτίνουσιν δὲ τὸ ἰ. ἵνα ἀντωνυμία τυγχάνῃ δεικτι-
κή. τὸ δὲ ἑξῆς, τὴν κύνα βάλλει ἥτοι τῶν ὀϊῶν ἕπετο σκο
πὸς, ἤγουν φύλαξ. Ἁ δὲ βαύσδει. Αὐτὴ δὲ ἡκύων,
ὑλακτεῖ εἰς τὴν θάλασσαν βλέπουσα. τὸ βαΰζειν, ὑπὲρ
τῶν σκυλακίων λέγεται κυρίως. ὑπὲρ δὲ τῶν τελείων κυ
νῶν, τὸ ὑλακτεῖν λέγουσιν, ὥστε τὸ βαύσδει ἐν ταῦθα,
ἀντὶ τοῦ ὑλακτεῖ λέγεται. Τὰ δέ νιν καλὰ κύματα
φαίνει, ἥσυχα καχλάζοντα. Τὰ δὲ καλὰ κύματα ἡ-
σύχως ἀναβραττόμενα, δεικνύει αὐτὴν τὴν γάλατειαν
ὑπὲρ τοῦ αἰγιαλοῦ τρέχουσαν. ἢ αὐτὴν τὴν γαλάτειαν φη
σὶν ὑπὲρ τρέχουσαν ἡσύχως κινουμένου τοῦ αἰγιαλοῦ εἰς τὴν
θάλασσαν ἐμφανίζειν. καὶ ὥσπερ ἐν κατόπτρῳ δεικνύ-
ειν αὐτῇ τὴν μορφὴν ἡ θάλασσα. τὸ καχλάζοντα, ἀν-
τὶ τοῦ ἠχοῦντα. ὁ τρόπος ὀνοματοποιΐα. ἢ καχλάζειν, τὸ
ψοφεῖν τὸ κῦμα φερόμενοι ὑπὲρ οὐκ κάχληκας. τὸ δὲ, ἐπ'
αἰγιαλοῖο θέοισαν, μετωνυμικῶς ἀπὸ τῆς γαλήνης τῆς θα
λάσσις, πρὸς γαλάτειαν τρέπεται. καὶ λέγει ἐπάνω

αὐτὴν

αὐτὸν τὴν λυμάτων βαίνειν. Φρόντιζε μὴ τὰς παιδός. Σκόπει ἵνα μὴ ὦσι ταῖς λυπήμασι ἢ παιδὸς ἄγαν ἢ γαλατείας ὁρμήσῃ. ὦσι τὸ πλήσῃ ἐκ τῆς θαλάσσης ὀρχομένης καὶ καταμύξῃ τὸ ὀνειδὲς αὐτῆς σῶμα. ἄγαν, καταξαίνῃ, καταπαρείξῃ. Ἀδέ, καὶ αὐτόθιρι. Οἴκοθεν. ἀπὸ τῆς οἰκείας φύσεως, ἁλαρρότητος ὑπὸ τρυφερότητος. Ὡς ἀπ' ἀκάνθας τὰ καπυραὶ χαῖται. Ὡς ἀπὸ τῆς κινάρας οἱ πάπποι. χαῖται γὰρ οἱ πάπποι τῆς κίναρας. λέγονται δὲ οἷμαι χαῖται, ἁπὸ τὸ κόμας ἐοικέναι. καπυραὶ δὲ, αἱ κεκαυμέναι ὑπὸ τοῦ ἡλίου ἁπὸ τῆς θερμότητα. ἢ λυπρότητα, ὡς γὰρ ἄλλοι. Καὶ φεύγῃ σε ἁγλυκύτερα Φιλέοντα. καὶ ὁ Φιλέοντα, διώκῃ. ἄγαν, ζητεῖ γὰρ τὸ ὀρεκτικὸν αὐτῆς καὶ πανδήμου σημαίνει. τὸ γὰρ Φιλοῦντα φεύγειν, ὁ Φιλοῦντα δὲ διώκειν, καπρόθυς. ὀνος. καὶ ἐπεισλαὶ αἴθετε ὦ πολύφημε Φιλοῦντα, φεύγει καὶ ὁ προσλέγεται. μισοῦντα δὲ, διώκει. ἄγαν, εἰς πόθον ἄγῃ πειρᾶτῃ.

Καὶ γὰρ ἀπὸ γραμμᾶς λινεῖ λίθον. Παροιμία. ἡ πάντα τρόπον ποιεῖ ἢ λινεῖ τυχεῖν σε. Ἄλλως. Καὶ ὅταν προσποιῆ σὺ μὴ Φιλεῖν αὐτὸν πάντα κάλων λινεῖ καθελκύσαισε πρὸς γὰρ ἑαυτὴν ὁρῶντα. ἡ δὲ λέξις, μεταφορικῶς ἀπὸ τῶν παιζόντων τὸ κοινολεκτως λεγόμενον ζαρίκιον. ἐκεῖνοι γὰρ ὅταν πολλὰ ποιήσαντες ὁ διώκοντες ἑτέρως νικῆσαι τὸν ὅμοιον παίκτρια, λινοῦσι τὴν γὰρ ἀπὸ γραμμῆς λίθον, γὰρ ὅτω βασιλέα καλόμενον. Ἄλλως.

Γραῦ-

γραψαι τὸ ξέσαι, οἱ παλαιοί ἔλεγον. ἀπὸ γὰρ τοῦ γράφειν τοῦ σκληρὸς τὸ ξέειν, γίνεται γραμμὴ ἡ λαξευσις. λίθου δὲν ἀπὸ γραμμῆς φησὶ τοῦθα λέγει, τὸ λίθινον ἄγαλμα. ὁ δὲ νῦς, δυύατου ἡ γαλατεια καὶ τὸ λίθινον ἄγαλμα, εἰς τὸν αὐτὸν ὁρῶτα ἰδιαπαλθαθαι, δι' ὃν ὁρβολιὼ κάλλος. Ἡ γὰρ ὁρῶτι πολλαχις ὧ πολύφαμε. Ὄντως πολλαχις ὦ πολύφημε ὑπ' ὁρῶτος, τὰ μὴ ὄυμαρφα, ὄυμαρφα φαίνονται. διὸ μὴ θαύμαζε εἰ ὁρᾶσα ἡ γαλάτεια ἀμόρφους ὄντας. φιλότης γὰρ ὁ ὁρῶς. ἀπβιαίζει τὴν διάνοιαν τῶν ὁρώντων. Τῶν δ' ὧν λαμοίτας. Ἐπὶ τῷ λάφνιδι ἦ, ἤγουν, μετὰ τὸν Δάφνιν ὁ λαμοίτας αὐξαθλη. αὐτὶ τοῦ ἤρξατο. ἐπροιμιάζη. ὁ γὰρ λαμοίτας ἄδει, ὡς ἐκ προσώπου τοῦ πολυφήμου τὴν ἀπόκεισιν τοῦ λόγου ποιούμενος. Εἶδον ναὶ τὸν ποιμένα. Καὶ γὰρ εἶδον ὡς λέγεις τὴν γαλάτειαν νὴ τὸν ποιμένα, ἵνα τὸ ποίμνιον ἐμπλοβόλει, καὶ δὴ ἔλαβε μαχὸν ἐμοῦ ἕνα καὶ γλυκὺν ὀφθαλμὸν δι' ὃν νῦν βλέπω, καὶ βλέψω δι' ὅλης μου ζωῆς. ὅλον γὰρ τὸ ὂν τέλος. τὸ δὲ ἀναβάλλω, σημαίνει τὸ σαρα. τὸ προοιμιάζω. ὡς τὸ ἀνεβάλλετο λαλὸν ἄεισμα. τὸ ἀναπερόω καὶ ἀναπέμπω. ὡς τὸ, καὶ οἱ μὲν τέτιγες, μουσικὴν ἀνεβάλλοντο σιώπην, τὸ γὰρ λύομαι. ὡς τὸ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. καὶ τὸ ἀπύνομαι, ὡς τὸ ἀναβάλλομαι τ δὲ τ πράγματος. Αὐτάρ ὁ μαύτις ὁ τήλεμος. Οὗτός ἐστιν ὁ τήλεμος, ὁ παῖς Ὁμήρου ἐυρυμίδης, ἢ ἐυρύμαχος λαλόμενος. ὃς

μαν

μαντοσύνη ἐκέκαστο. ὃς ἐμαντεύσατο αὐτῷ, ὑπὸ τῶν χειρῶν ὀδυσσέως τυφλωθῆναι. ὁ νοῦς. ὁ δὲ μάντις ὁ τήλεμος ὁ τὰ ἀπευκτά μοι μαντευόμενος, ἀπευκταίαν συμφορὰν ἀντ' ἄλλου κλήρου τοῖς ἑαυτοῦ παισὶ καταλείποι. Ἄλλως. Ὁ μάντις δὲ ὁ τήλεμος ἐχθρὰ ἀγορεύων, ἤγουν μαντευόμενος, ἐχθρὰ εἴθε φέροιτο. ἀντὶ τοῦ γένεσθαι πρὸς τὸν ἑαυτοῦ οἶκον. ὅπως τοῖς ἑαυτοῦ ἐκγόνοις φυλαξῃ αὐτά. ἐμαντεύσατο γὰρ αὐτῷ τῷ πολυφήμῳ δηλονότι κύκλωπι, ἐκ τῶν ὀδυσσέως χειρῶν ἁμαρτήσασθαι ὀπωπῆς. ὥσπερ τὸ, φίλος γίνοτε μὲν λίγεται ὑπὸ τοῦ φιλοῦντος, γίνοτε δὲ ὑπὸ τοῦ φιλουμένου, οὕτω καὶ τὸ, ἐχθρὸς τὸ γναντίον αὐτῷ γίνοτε μὲν λέγετε ὑπὸ τοῦ ἐχθαίροντος, γίνοτε δὲ ὑπὸ τοῦ ἀπηχθημένου. καθὸ λέγεται γὰρ ταῦθα τὸ ἐχθρά. Ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίζων. Ἀλλὰ καὶ ἐγὼ εἰς ἔρωτα διεγείρων αὐτὴν, οὐ προσβλέπω ἐξεπίτηδες, καὶ ἄλλου τινὰ φημὶ γυναῖκα ἔχειν. ἡ δὲ ἀκούσασα, ζηλωτυποῖ με ὦ παιὰν καὶ διαῤῥεῖ ὑπὸ θαύματος καὶ χαρᾶς γὰρ ταῦθα ἡ ἐπίκλησις. Οἰστρεῖ παπταίνουσα. Τὸν οἰστρὸν, τοῦ μύωπος σώστρατος διαστέλλει. οἶστρος δέ ἐστι πολέμιος τοῖς βουσίν. ὅταν γὰρ διακνωσιν αὐτοὺς, οἰστρεῖν ποιοῦσι, καὶ τρέχειν πολλὴν ὁδὸν μετὰ βοῆς γὰρ τοῖς πεδίοις καταλιπόντας τὸν νομόν. μεταφορικῶς οὖν φησιν ὁ Θεόκριτος τὴν γαλάτειαν οἰστρεῖν, καὶ δρομαίαν ἀνέρχεσθαι πρὸς τὰ ἄντρα καὶ τὰς ποίμνας τοῦ κύκλωπος. Σῖγα δ' ὑλακτεῖν νιν καὶ τᾶ κυνί. Λείπει

τὸ

τὸ ἐπέταξα. ἤγουν ἐπέταξα τῇ κηνί, σιγᾷν καὶ μὴ ὑλακτεῖν. Ἐκνυζᾶτο ποτ' ἰσχία ῥύγχος ἔχουσα. Ἡκύων δηλονότι ἐκνυζᾶτο. ἔσαινε, καὶ κατεθώπευε τὸ στόμα ἔχουσα ἀναμέσον τῶν ἰσχίων αὐτῆς. κνυζηθμὸς λέγεται, ἡ τῶν κυνῶν ἄσημος ὑλακή. ἰσχία δὲ, τὰ ὑπὸ τῆς ὀσφὺν ἐξ ἑκατέρων τῶν μερῶν ὀστᾶ. ἐν οἷς ἔγκειται τὸ ἱερὸν ὀστοῦν ἔχουσι δὲ τὰ τοιαῦτα ὀστᾶ τὰ λεγόμενα ἰσχία, κοιλότητας τινὰς εἰς ἃς αἱ κεφαλαὶ τῶν μηρῶν ἁρμόζονται αἱ δὲ κοιλότητες αὗται, καὶ γλουτὰ λέγονται, καὶ κοτύλαι, πρὰ τὴν κοιλότητα. τὸ δὲ ῥύγχος καταχρηστικῶς ὑπὲρ τῆς κυνὸς νῦν λέγεται. κυρίως γὰρ ὑπὲρ ὀρνέων. Ἄλλως. Ῥὶς λέγεται ὑπὲρ ἀνθρώπων. ῥύγχος, ὑπὲρ κυνῶν. ῥαίμφος, ὑπὲρ ὀρνέων. Πεμψεῖ ἄγγελον. Μυνύειν ἐστὶ, τὸ κλέπτοντα τινὰ διεκνύειν. ἢ φεύγοντα, ἢ τοιουτότι ποιοῦντα. καὶ μηνυτὴς ὑπὲρ τούτων. μηνύειν καὶ τὸ σημαίνειν ἁπλῶς καὶ δηλοῦν, οἷον, ὁ τῆς κορώνης κερωγμὸς, χειμῶνα μηνύει. ἀγγέλλει δέ τις λόγους τινὸς πρός τινα, ἤγουν διακομίζει. καὶ ἀγγέλλειν, τὸ ἀφ' ἑαυτοῦ τινὰ λέγων περί τινος. καὶ ἄγγελος ὑπὲρ τούτων. λέγει δὲ, ἴσως δὲ αὐτὴ ὡρῶσά με ταῦτα ποιοῦντα, πέμψει ἄγγελον τὸν ἀπαγγελοῦντά μοι πρέπον τι περὶ αὐτῆς. Αὐτὰρ ἐγὼ κλασῶ θύρας. Κλείω ὁ μέλλων, κλείσω, πρὰ τοῖς κοινοῖς ἐν χρήσει. οἱ ποιηταὶ δὲ, κληΐσω λέγουσι. διαλύσει τῆς διφθόγγους, καὶ τροπῆ τοῦ ε εἰς η. εἶτα τροπῆ τοῦ η εἰς α, καὶ προσγραφομένου τοῦ ἰῶτα, κλαίσω, καὶ κλασῶ

σῶ λωεικῶς. δοκεῖ δὲ καὶ λιλπίζω ἐὰν πρὸς αὐτοῖς, ὧν τάττω τοῦ σημαινομένου. ἀφ' ὃ μέλλων λωεικῶς, λιλπίξω. καὶ προπαροξυτόνου ἡ εἰς ά, καὶ προσγραφομένου τοῦ ἰῶτα, λιλαξῶ. ἀφ' ὃ καὶ λιλάξῃ ἢ λιλεῖς. Τᾶς δ' ὧν νῦν τῆς σικελίας δηλονότι. καὶ γὰρ ὀκ ἔχω ὡς λέγουσιν εἶδος ἀλχίου. ἤγουν ἄχημον. οὕτως γὰρ πρὸ ὀλίγου γαλεώτης ὄσης, εἰς τὴν θάλασσαν ἔβλεπον. καὶ δύμορφα μοι ἐμοὶ τὰ γένεια. ἀντὶ τοῦ ἐμοί. δύμορφον δὲ ὁ ὀφθαλμός. Ὡς πρὸς ἐμὲ λέκρυται. Οἱ γὰρ μονόφθαλμοι κατὰ φύσιν τοῖς δὲ μονοφθάλμοις ἄμορφοι δοκοῦσιν. οὐχ ὁμοίως γὰρ λεύσσουσιν ἀμφότεροι τοῦ ἀνομοίους τὴν φύσιν. Τῶν λειτ' ὀδόντων. Τῶν δὲ ὀδόντων ἡ λοιπότης λοιποτέρα ἐλείπετο πρίας λίθου. πρία γάρ ἐστι λίθος λοιπή. Ὡς μὴ βασκανθῶ λέγει. Ἵνα δὲ μὴ βασκανθῶ, τρὶς εἰς τὸν ἐμὸν ἐπτύσα κόλπον. ποιοῦσι γὰρ καὶ μέχρι τοῦ νῦν μάλιστα τοῦτο αἱ γυναῖκες. τὸ νεμέσει τὸν ἐκ προπόμπων. Καλλίμαχος· Δαίμων. Τί κόλποισιν ὧν πτύουσι γυναῖκες. Ταῦτα γὰρ ἀτρεκῶς μετὰ κοτυληδὸν ἐξελίξω. Ἤγουν, τὸ πτύειν ὧν κόλπον ἐλίξαι ποιεῖν με ὥστε τῷ μὴ βασκαίνεσθαι. κοτυληδὸν δὲ, ὄνομα λύσιον. ἢ πρὸς τὸν κότυλον ἴσως ἀποίητον. καὶ γὰρ οἱ γέροντες ὀξύθυμοί εἰσιν. ἢ ἀντὶ τοῦ πρὸς λωεισθῆσι τιμωμένης κοτύλης. ἦσαν δὲ τιμαὶ θρέως δυγατρὸς, κοτύλη, καὶ δυρήθεμις. ἃς ἐτίμησαν ἡρακλεῖδαι, διὰ τὸ σωαγωνίσασθαι αὐτοῖς, καὶ τῆς εἰς πελοπόννησον ἄθροισιν ὡς οἱ πρὸ

ἱππόστρατον ἀπεφαίνουσι. Παρ' ἱπποκίονι. Ὄνομα κύριον, ἢ ὄνομα τόπου. Νίκη μὰν οὐδ' ἄλλος. Ἐνίκα μὲν οὐδ' ἕτερος. ἔξω δὲ ἥττης ἀμφότεροι ἐγένοντο.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ Ζ ΤΟΥ Θεοκρίτου εἰδύλλιον.

ΕΠΙΓΡΑΦΕΤΑΙ ΤΟ ΠΑΡΟΝ εἰδύλλιον θαλύσια, ἢ ἐαρινὴ ὁδοιπορία.

„ Ἡς χρόνος ἁνίκ' ἐγὼ καὶ εὔκριτος εὖ τὸν ἁλέντα
„ Εἵρπομ' ἐκ πόλι. σὺν καὶ τρίτος ἄμμ' ἀμύντας.

Χρόνος τὸ συμπρεκτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα. λέγεται δὲ ἐνίοτε μὲν καθόλου, ἐνίοτε δὲ ἐπὶ μέρους, ὡς ἐν ταῦθα. καιρὸς δὲ ἐστι χρόνος δέων. λέγονται καιροὶ. καὶ αἱ τοῦ ἐνιαυτοῦ ὧραι. ἧς χρόνος, ὁ πότε ἐγὼ καὶ εὔκριτος, καὶ τρίτος σὺν ἡμῖν ἀμύντας εἵρπομεν ἀντὶ τοῦ ἀπερχόμεθα. τὸ ἕρπειν κυρίως ἐπὶ ὤφεως, καὶ σκωλήκων. καὶ ἑτέρων ἀπόδων ζώων λέγεται. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν νωθέστερον καὶ ἀσπουδεὶ πορευομένων. νῦν δὲ, ἐπὶ τοῦ βαδίζειν λέγεται. εὖ τὸν ἁλέντα. ἀλεὺς, ἢ δῆμος τῆς κῶ οὕτω καλούμενος ἀπότινος ἁλέντος, ἢ τόπος ἐν κῷ οὕτως ὀνομαζόμενος ἀπὸ ἁλεντίου τινὸς βασιλέως. ἔστι δὲ ἄλευς, καὶ ποταμὸς σικελίας. θαλύσια, ἑορτὴ ἣν ἐτέλουν τῇ δήμητρι μετὰ τὴν συγκομι-

„ κομιδὴν τῶν καρπῶν. Ὅμηρος· Θαλύσια γοῦν ἀλωῆ-
„ σι. Καὶ φρασίδαμος, οὗτος ὁ καὶ περισσός. τὸ δὲ ἑξῆς,
τῇ δηοῖ γὰρ ἔτευχε θαλύσια, ὁ φρασίδαμος, κἀντιγέ-
νης. Δύο τέκνα λυκώπεως. Γράφεται καὶ λυκώ-
πεως διὰ τοῦ ω μεγαλοῦ. ὅπερ αἰολικῶς περιπροξύνετο.
ἐπειδὴ οἱ αἰολεῖς Ἀχίλλευς, καὶ πήλευς, καὶ βασίλευς
βαρυτόνως λέγουσιν. ὁμοίως καὶ τὸ λυκώπευς. διὰ οὖν
ἡ τῶν εἰς ευ γενικὴ πρὸ αὐτοῖς περιπροξύνεται. Εἴτι
περ ἐσθλόν, χαῶν τῶν ἔτ' ἄνωθεν ἀπὸ κλυτίας τε καὶ αὐ-
τῷ χάλκωνος. χαὸν λέγεται τὸ ἀγαθὸν πρὰ λακεδαι-
μονίοις. χαὸν δὲ καὶ τὸ εὐγενὲς, ἢ τὸ ἀρχαῖον. ὁ δὲ νοῦς, τοιοῦ-
τος. εἴτι ἐστιν ἀγαθὸν ἀπὸ τῶν ἔτι ὄντων ἀρχαίων ἀγαθῶν
τῶν ἀπὸ τῆς κλυτίας τε, καὶ αὐτοῦ τοῦ χάλκωνος, οὗτοί εἰσι
τὸ ἀγαθὸν ἐκεῖνο. ἤγουν ὁ φρασίδαμος, καὶ ὁ ἀντιγένης.
καὶ σαφέστερον φαῖναι, οὖν βούλεται εἰπεῖν ὁ Θεόκριτος,
ὅτι ἀπὸ τοῦ ἀρχαίου ἀγαθοῦ γένους τῆς κλυτίας τῆς βασιλίσ-
σης τῶν κώων καὶ τοῦ παιδὸς αὐτῆς τοῦ χάλκωνος, κατά-
γονται ὁ φρασίδαμος καὶ ὁ ἀντιγένης. οὗτοι μόνοι ἀπὸ
πάντων τῶν καταγομένων ἐξ αὐτῶν εἰσὶν ἀγαθοὶ, καὶ
οἱ πρόγονοι αὐτῶν. κῦ δὲ ἡ κλυτία, θυγάτηρ μερό-
πος. γαμηθεῖσα δὲ εὐρυπύλω τῷ βασιλεῖ τῶν κώων,
ἐγέννησε τὸν χάλκωνα, τὸν τὴν βασιλείαν τῶν κώων
διαδεξάμενον. περὶ εὐρυπύλου δὲ καὶ κλυτίας ἱστο-
ρεῖται, ὅτι οὗτοι εἰσὶν οἱ ὑπὸ τῆς ἡρακλέους πολυορ-
κίας, τὴν κῶ κατοικήσαντες καὶ ὑποδεδεγμένοι τῆς

σλήμητραν, ἐκαθ' ὃν καιρὸν πορεύεσθαι τὴν κόρην. ἣν νήσῳ ὠνομάσθαι ὁ Θεόκριτος, ἐξελιώθη φρασὶ λαμπρῶ. Ἄλλως. Εἴπ' ἀγαθόν. Εἴπ' ἀγαθὸν ὄντες ἐπ' ἀγαθῷ. ἤτοι, ἐν γνώμῃ τῶν ἀρχαιοτάτων. οὐκ γὰρ σὺν ἐστὶ τοῖς, τῶν ἐπ' ἄνωθεν κατηγόμενοι. ἀπό τε τῆς ἐλευθερίας λέγω, καὶ αὐτοῦ τοῦ χάλκωνος. ὃς τὴν ὠκυλίαν τὴν Βάρβιναν. ἢ Βάρδαν. γράφεται γὰρ καὶ ἄτως. ἥτις φασὶν ἄτως ὠνομάσθη, διὰ τὸ πρόπλησιον εἶναι τὸν πόρον ἄθῳ ῥεῖ μυκτῆρι βοός. ἐκπολὶς ἄνυσιν. αὐτὶ τοῦ αὐαδίσθαι ἐποίει. καλῶς ὀρύσσοντος τὴν πέτρα τὸ γόνυ. αὐτὸς γάρ φασιν ὠνομάσθαι τῷ τόπῳ, τὴν ἔκρηξιν τῆς ὠκυλίας ταύτης εἰργάσατο. εἶτα χαλκῷ αὐθριαύτα εἰς τύπον ἑαυτὸν κατασκευάσας, ἤρεισεν αὐτὸν τῇ πέτρᾳ, ἄθῳ ἡ ὠκυλία ῥεῖ. καὶ ἀπὸ τοῦ πολὶς αὐτοῦ ἐποίησεν αὐτὴν αὐαδίσθαι. Βάρειαν ὃς ἐκπολὶς ἄνυσε καιρίαν εὐγόνατον πέτρα γόνυ. ὅτε ὁ χάλκων ἐβασίλευσε τῶν καιῶν, εὑρέθη γάτινι τόπῳ ἡ καινὴ ὠκυλία μὴ πρότερον οὖσα, ἧς νῦν ὁ Θεόκριτος μέμνηται. εὑρέθη δὲ ἄτως. ἀπαγγέλθη τῷ Βασιλεῖ πρᾶγμα ὅτι τῶν ποδὶ ταῦτα δεινῶν, ὅτι ὕδατος ὁ τόπος ἐκεῖνος γέμοι. καὶ ὁ Βασιλεὺς αὐτεπισκέψασθαι τῷ τόπῳ, ἠὐτόρρυτον ὄντα σωτῆρα πρὸς τὸ τοῦ ὕδατος ἐκρηξιν. ὧν δὴ δεηλεῖ ὃς ἐκπολὶς ἄνυσε καιρίαν. ὅτι ὁ χάλκων, διὰ τὸ οἰκείων πολλῶν καὶ δι' αὐτεπισκέψεως ἰῶσθαι, ἵνα μὴ κατόρρυτον καὶ κατώρθωσε τὴν καιρίαν. τὸ δὲ εὐγόνατον γόνυ πέτρα

